Ce dialogue a été expliqué littéralement, traduit en français et annoté par M. H. Feschotte [vraisemblablement, M. Henri Feschotte, agrégé de lettres classiques, né le 20 février 1862 à Lyon et décédé le 11 mai 1943 à Cassis (13620). Il fut principal du collège de Saint-Germain-en-Laye (1925). En octobre 1925, il fut fait chevalier de la Légion d'honneur. Il rédigea donc cette traduction à l'âge de 25 ans (1887). Il est à noter qu'un de ses fils fut Jacques Feschotte (1894-1966), musicologue bien connu. Merci à M. Mark De Wilde pour ses minutieuses recherches.].

Le texte de l'édition originale (1887) parue chez Hachette a été numérisé, légèrement modifié et recomposé avec TeX avec les fontes Linux Libertine, Hippias, imitée de la fonte historique des Belles Lettres et Monotype Greek 90.

La fonte Hippias (Ἱππίας) sera bientôt disponible chez le fondeur Herofonts (http://www.herofonts.com/).

Le texte, les traductions de cet ouvrage ont été complétés, revus par G. Gréco et M. De Wilde.

Publié par Gérard Gréco sur http://gerardgreco.free.fr.

Version 3.0 du 27 septembre 2018.

La recomposition de cet ouvrage est basée sur les travaux de Petr Březina concernant la composition bilingue et plurilingue, publiés dans le bulletin du Groupe tchécoslovaque des utilisateurs de TeX, année 2008, numéro 4, ISSN 1211-6661, et présentés au public francophone dans l'article « Éditions bilingues et TeX » qui est librement disponible sur son site web :
http://www.volny.cz/petr-brezina/libelli/bilingue.pdf

13678. — Imprimerie A. Lahure, rue de Fleurus, 9, à Paris.

LES

AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

L'UNE LITTÉRALE ET JUXTALINÉAIRE PRÉSENTANT LE MOT À MOT FRANÇAIS
EN REGARD DES MOTS GRECS CORRESPONDANTS
L'AUTRE CORRECTE ET PRÉCÉDÉE DU TEXTE GREC

avec des arguments et des notes

PAR UNE SOCIÉTÉ DE PROFESSEURS

ET D'HELLÉNISTES

LUCIEN

LE SONGE OU LE COQ

Paris
2018

AVIS

RELATIF À LA TRADUCTION JUXTALINÉAIRE

On a réuni par des traits, dans la traduction juxtalinéaire, les mots français qui traduisent un seul mot grec.

On a imprimé en *italique* les mots qu'il était nécessaire d'ajouter pour rendre intelligible la traduction littérale, et qui n'ont pas leur équivalent dans le grec.

Enfin, les mots placés entre parenthèses, dans le français, doivent être considérés comme une seconde explication, plus intelligible que la version littérale.

ANALYSE DU COQ

Un pauvre savetier, Micylle, est réveillé avant l'aurore par le chant de son coq au moment même où il se voyait en rêve comblé des dons de la fortune. Sa colère s'exhale en injures, mais, à sa grande surprise, l'oiseau prend la parole pour se justifier. C'est qu'il a été homme, lui aussi : ce coq n'est autre que le philosophe Pythagore. Après sa mort, son âme, suivant les règles de la métempsycose qu'il avait professée, a passé dans divers corps. Il raconte au savetier ses métamorphoses ; tour à tour pauvre et riche, monarque et artisan, il a fini par trouver que la vie d'un coq était la plus heureuse de toutes. Cependant Micylle revient toujours à son rêve de richesse et gémit sur sa misère. — Mais les pauvres, lui apprend le coq, sont les plus heureux des hommes. La puissance et la fortune sont des sources d'inquiétude et de tourment, — et pour le lui prouver, il veut lui faire voir quelle est la vraie condition des riches.

Il le conduit alors, grâce à un pouvoir magique, dans la maison de plusieurs personnages dont on pourrait être tenté d'envier le bonheur : chez le voisin Simon, naguère savetier aussi, mais enrichi nouvellement ; chez le banquier Gniphon, chez le riche Eucrate. Tous sont en proie à l'insomnie et aux soucis. Devenu plus sage, le savetier préférera désormais sa tranquillité et sa bonne humeur à tout l'or du monde.

L'idée principale du dialogue n'est certes pas nouvelle, du moins pour un lecteur moderne : elle est devenue l'un des lieux communs favoris de toutes les écoles philosophiques. On peut rapprocher, pour le sujet, la pièce de Plaute intitulée *l'Aululaire* (ou *la Marmite*), l'histoire de Vultéius Ménas, si finement contée dans une épître d'Horace (1, 7), la nouvelle du savetier Blondeau par Bonaventure Despériers, et la fable de la Fontaine : *le Savetier et le Financier* (8, 2). Ce qui fait le charme de ce petit écrit, c'est le naturel et la vivacité du dialogue, c'est l'ironie du sceptique qui frappe toutes les sectes, tous les préjugés, toutes les superstitions, acérée comme la flèche, ailée comme elle. À l'esprit positif qui repousse l'antique mythologie et tout ce qui lui ressemble, Lucien unit l'imagination poétique, qui crée en se jouant de séduisantes fictions au moment même où elle combat la fiction, qui revêt une argumentation parfois un peu mesquine de sa brillante fantaisie, qui, en contentant la raison, charme l'esprit. Cette alliance de qualités contradictoires ne se retrouve guère, ce semble, que dans quelques écrits de Voltaire. Elle constitue la principale originalité de

Lucien, et nulle part elle n'est plus frappante que dans le dialogue qu'on va lire.

N. B. L'analyse que nous donnons du *Coq* est celle de l'édition Desrousseaux [A. M. Desrousseaux, Lucien. *Le songe ou le coq. Annoté à l'usage des classes.* Paris, Hachette, 1887] dont nous avons reproduit en partie les notes. [Le texte est essentiellement celui de cette même édition, après rétablissement des suppressions *ad usum delphini*. La traduction dite « correcte » est une adaptation de E. Talbot, *Œuvres complètes de Lucien de Samosate. Traduction nouvelle avec une introduction et des notes.* Tome 2, Paris, Hachette, 1866, p. 114-133, qui est redevable à celle de E. Geruzez, *Le Songe ou Le Coq de Lucien. Interlinéaire,* Paris, Delalain, 1833. À son tour, celli-ci remonte à J.-B. Gail, *Mythologie dramatique.* Tome 2, Paris, Gail, 1795 (an 3), p. 47-108. M. De W.]

H. F.

ΛΟΥΚΙΑΝΟΥ

ΟΝΕΙΡΟΣ Η ΑΛΕΚΤΡΥΩΝ

ΜΙΚΥΛΛΟΣ ΚΑΙ ΑΛΕΚΤΡΥΩΝ, ΣΙΜΩΝ.

1. ΜΙΚΥΛΛΟΣ. Ἀλλὰ σέ, ὦ κάκιστε ἀλεκτρυών, ὁ Ζεὺς αὐτὸς ἐπιτρίψειε[1] φθονερὸν οὕτω καὶ ὀξύφωνον ὄντα, ὅς με πλουτοῦντα καὶ θαυμαστὴν εὐδαιμονίαν εὐδαιμονοῦντα διάτορόν τι καὶ γεγωνὸς ἀναβοήσας ἐπήγειρας, ὡς μηδὲ νύκτωρ γοῦν τὴν πολὺ σοῦ μιαρωτέραν πενίαν διαφύγοιμι. Καίτοι εἴ γε χρὴ τεκμαίρεσθαι τῇ τε ἡσυχίᾳ πολλῇ ἔτι οὔσῃ καὶ τῷ κρύει μηδέπω με ὥσπερ εἴωθεν ἀποπηγνύντι (γνώμων γὰρ οὗτος ἀψευδέστατός μοι προσελαυνούσης ἡμέρας) οὐδέπω μέσαι νύκτες εἰσίν. Ὁ δ᾿ ἄϋπνος οὗτος, ὥσπερ τὸ χρυσοῦν ἐκεῖνο κώδιον φυλάττων, ἀφ᾿ ἑσπέρας εὐθὺς ἤδη κέκραγεν·

1. MICYLLE. Mais, maudit coq, que Zeus t'écrase, bruyant ennemi de mon sommeil, toi qui es venu m'éveiller par tes cris aigus et perçants, tandis que je jouissais, au sein de l'opulence, de la félicité la plus parfaite. Quoi donc ! ne puis-je, même pendant la nuit, échapper à la pauvreté, mille fois plus détestable que toi ? Pourtant, à en juger par le silence qui règne encore partout et la fraîcheur du matin, qui ne me pique pas encore comme d'habitude (car c'est là l'horloge qui me marque le plus sûrement l'approche du jour), il n'est pas encore minuit. Mais cet animal sans sommeil ne dort pas plus que s'il gardait la fameuse toison d'or ; il se met

LUCIEN

LE SONGE OU LE COQ

MICYLLE, LE COQ, SIMON.

1. ΜΙΚΥΛΛΟΣ. Ἀλλά,	**1.** MICYLLE. Mais,
ὦ κάκιστε ἀλεκτρυών,	ô très-méchant coq,
ὁ Ζεὺς αὐτὸς	*que* Zeus lui-même
ἐπιτρίψειε σὲ	écrase toi
ὄντα οὕτω φθονερὸν	étant à ce point envieux
καὶ ὀξύφωνον,	et à-la-voix-perçante (criard),
ὃς ἐπήγειράς με	*toi*-qui as-éveillé moi
πλουτοῦντα	étant-riche
καὶ εὐδαιμονοῦντα	et étant-heureux
εὐδαιμονίαν θαυμαστὴν	*d'*un bonheur admirable
ἀναβοήσας	ayant-crié
διάτορόν τι	un-certain *cri* perçant
καὶ γεγωνός,	et clair,
ὡς γοῦν διαφύγοιμι	en-sorte-que donc je *ne* fuirais
μηδὲ νύκτωρ	pas-même pendant-la-nuit
τὴν πενίαν	la pauvreté
πολὺ μιαρωτέραν σοῦ.	beaucoup plus-pernicieuse-que toi.
Καίτοι εἴ γε χρὴ τεκμαί-	Cependant si du moins il faut *en* juger
τῇ τε ἡσυχίᾳ [ρεσθαι	et *par* la tranquillité
οὔσῃ ἔτι πολλῇ	étant encore considérable
καὶ τῷ κρύει	et *par* le froid
μηδέπω ἀποπηγνύντι με	ne piquant pas encore moi
ὥσπερ εἴωθε	comme d'habitude
(γνώμων γὰρ οὗτός μοι	(car cette horloge-là *est* pour-moi
ἡμέρας προσελαυνούσης	*l'horloge* du jour s'avançant
ἀψευδέστατος)	la plus véridique)
μέσαι νύκτες οὐδέπω εἰσίν.	*il* n'est pas-encore minuit.
Οὗτος δὲ ἄϋπνος,	Mais cet animal-ci qui-ne-dort-pas,
ὥσπερ φυλάττων	comme gardant (s'il gardait)
τὸ κώδιον ἐκεῖνο χρυσοῦν,	cette fameuse toison d'or,
κέκραγεν ἤδη	a déjà crié
εὐθὺς ἀπὸ ἑσπέρας·	aussitôt à-partir-du soir ;

ἀλλ᾽ οὔτι χαίρων γε. Ἀμυνοῦμαι γὰρ ἀμέλει σε, ἢν μόνον ἡμέρα γένηται, ξυντρίβων τῇ βακτηρίᾳ· νῦν δέ μοι πράγματα παρέξεις μεταπηδῶν ἐν τῷ σκότῳ. — **ΑΛΕΚΤΡΥΩΝ.** Μίκυλλε δέσποτα, ᾤμην τι χαριεῖσθαί σοι φθάνων τῆς νυκτὸς ὁπόσον δυναίμην, ὡς ἔχοις ἐπορθρευόμενος ἀνύειν τὰ πολλὰ τῶν ἔργων· ἢν γοῦν πρὶν ἥλιον ἀνίσχειν μίαν κρηπῖδα ἐργάσῃ, πρὸ ὁδοῦ ἔσῃ τοῦτ᾽ ἐς τὰ ἄλφιτα πεπονηκώς. Εἰ δέ σοι καθεύδειν ἥδιον, ἐγὼ μὲν ἡσυχάσομαί σοι καὶ πολὺ ἀφωνότερος ἔσομαι τῶν ἰχθύων, σὺ δ᾽ ὅρα ὅπως μὴ ὄναρ πλουτῶν λιμώττης ἀνεγρόμενος. **2.** — **ΜΙΚ.** Ὦ Ζεῦ τεράστιε καὶ Ἡράκλεις ἀλεξίκακε, τί τὸ κακὸν τοῦτ᾽ ἐστίν; ἀνθρωπίνως

à crier dès le soir. Mais, sur ma foi, tu t'en repentiras ; vienne le jour, je m'en venge en t'assommant à coups de bâton. Dans ce moment tu me donnerais trop à faire en sautillant dans les ténèbres. — LE COQ. Micylle, mon cher maître, je croyais, en t'éveillant le plus matin possible, t'obliger et te donner les moyens de faire plus d'ouvrage ; quand tu n'aurais fait qu'une savate avant le lever du soleil, ce serait autant de fait d'avance pour avoir du pain. Si tu aimes mieux dormir, je te laisserai en repos, et je deviendrai plus muet que les poissons. Mais prends garde de n'être riche qu'en songe et d'avoir faim à ton réveil. **2.** — MIC. Ô Zeus qui détournes les prodiges, et toi, Héraclès tutélaire, quel est ce phénomène ef-

ἀλλά γε οὔτι χαίρων.	mais du moins non en-se-réjouissant.
Ἀμυνοῦμαι γάρ σε	Car je me vengerai de toi,
ἀμέλει,	sois tranquille,
ξυντρίβων τῇ βακτηρίᾳ,	*t'*assommant *avec* le bâton,
ἢν μόνον ἡμέρα	si seulement le jour
γένηται·	vient-à-paraître ;
νῦν δὲ	mais maintenant
παρέξεις μοι	tu me causeras (causerais)
πράγματα	des difficultés
μεταπηδῶν ἐν τῷ σκότῳ.	*en* sautant dans l'obscurité.
ΑΛΕΚΤΡΥΩΝ. Μίκυλλε	LE COQ. Micylle
δέσποτα,	*mon* maître,
ᾤμην	je pensais
χαριεῖσθαί σοί τι	devoir-être-agréable à toi *en* quelque chose
φθάνων τῆς νυκτὸς	devançant de la nuit
ὁπόσον δυναίμην,	autant-que je pourrais,
ὡς ἔχοις	afin que tu pusses
ἐπορθρευόμενος	étant-levé-à-l'aube
ἀνύειν τὰ πολλὰ	achever la plus-grande-partie
τῶν ἔργων·	de *tes* travaux ;
ἢν γοῦν	si du moins
ἐργάσῃ μίαν κρηπῖδα	tu as-fabriqué une-seule chaussure
πρὶν ἥλιον ἀνίσχειν,	avant que le soleil se lève,
ἔσῃ πεπονηκὼς τοῦτο	tu-seras ayant-pris-cette-peine
πρὸ ὁδοῦ	avant la route (d'avance)
ἐς τὰ ἄλφιτα.	pour l'orge (pour gagner ton pain).
Εἰ δὲ ἥδιόν σοι	Mais s'*il est* plus-agréable à toi
καθεύδειν,	*de* dormir,
ἐγὼ μὲν	moi, d'une part,
ἡσυχάσομαί σοι	je resterai tranquille pour toi
καὶ ἔσομαι	et je serai
πολὺ ἀφωνότερος	beaucoup plus muet
τῶν ἰχθύων,	que les poissons,
σὺ δέ, ὅρα ὅπως	toi, d'autre part, veille à-ce-que
πλουτῶν ὄναρ	étant riche en rêve
μὴ λιμώττῃς	tu ne sois pas affamé,
ἀνεγρόμενος.	étant-réveillé.
2. ΜΙΚ. Ὦ Ζεῦ	**2.** MIC. Ô Zeus
τεράστιε	qui-fais-des-prodiges
καὶ Ἡράκλεις	et *toi* Héraclès
ἀλεξίκακε,	qui-écartes-les-maux,
τί ἐστι	quel est
τὸ κακὸν τοῦτο ;	ce malheur-ci ?

ἐλάλησεν ἀλεκτρυών. — **ΑΛΕΚ.** Εἶτά σοι τέρας εἶναι δοκεῖ τὸ τοιοῦτον, εἰ ὁμόφωνος ὑμῖν εἰμι ; — **ΜΙΚ.** Πῶς γὰρ οὐ τέρας ; ἀλλ᾽ ἀποτρέποιτε, ὦ θεοί, τὸ δεινὸν ἀφ᾽ ἡμῶν. — **ΑΛΕΚ.** Σύ μοι δοκεῖς, ὦ Μίκυλλε, κομιδῇ ἀπαίδευτος εἶναι μηδ᾽ ἀνεγνωκέναι τὰ Ὁμήρου ποιήματα, ἐν οἷς καὶ ὁ τοῦ Ἀχιλλέως ἵππος [1], μακρὰ χαίρειν φράσας τῷ χρεμετίζειν, ἕστηκεν ἐν μέσῳ τῷ πολέμῳ διαλεγόμενος ἔπη ὅλα ῥαψῳδῶν, οὐχ ὥσπερ ἐγὼ νῦν ἄνευ τῶν μέτρων· ἀλλὰ καὶ ἐμαντεύετο ἐκεῖνος καὶ τὰ μέλλοντα προεθέσπιζε καὶ οὐδέν τι παράδοξον ἐδόκει ποιεῖν, οὐδὲ ὁ ἀκούων ἐπεκαλεῖτο, ὥσπερ σύ, τὸν ἀλεξίκακον, ἀποτρόπαιον ἡγούμενος τὸ ἄκουσμα. Καίτοι τί

frayant ? Mon coq a parlé comme un homme ! — LE COQ. Eh quoi ! tu cries au prodige parce que je parle comme vous ! — MIC. Comment n'en serait-ce pas un ? Encore une fois, grands dieux, écartez de moi ce malheur ! — LE COQ. Tu as l'air bien ignorant, Micylle ; tu n'as donc jamais lu les poèmes d'Homère ? Là aussi, Xanthe, le cheval d'Achille, dit un long adieu au hennissement, et s'arrête au milieu du combat pour parler en vers épiques comme un vrai rhapsode, et non pas en prose, comme je le fais ? Bien plus, il était prophète, et prédisait l'avenir, cependant cela ne semblait pas étrange, et celui qui l'entendait ne s'avisait pas, comme toi, d'implorer le destructeur des monstres, pour détourner un sinistre présage. Et qu'aurais-tu donc fait si tu avais entendu le navire Argo te parler

ὁ ἀλεκτρυὼν	Le (mon) coq
ἐλάλησεν	a-parlé
ἀνθρωπίνως.	comme-un-homme.
ΑΛΕΚ. Εἶτα	LE COQ. Après-cela
τὸ τοιοῦτον	ce-fait *étant* tel
εἰ ὑμῖν εἰμι	*à savoir* si je vous suis
ὁμόφωνος	semblable-par-la-parole
δοκεῖ σοι τέρας εἶναι ;	semble à toi être un-prodige ?
ΜΙΚ. Πῶς γὰρ	MIC. Comment en effet
οὐ τέρας ;	ne *serait-ce* pas un-prodige ?
ἀλλά, ὦ θεοί,	mais, ô dieux,
ἀποτρέποιτε τὸ δεινὸν	détournez cette *chose* terrible
ἀπὸ ἡμῶν.	de nous.
ΑΛΕΚ. Ὦ Μίκυλλε,	LE COQ. Ô Micylle,
σὺ δοκεῖς μοι	tu parais à moi
εἶναι κομιδῇ ἀπαίδευτος	être tout-à-fait ignorant,
μηδὲ ἀνεγνωκέναι	et n'avoir pas lu
τὰ ποιήματα Ὁμήρου,	les poèmes d'Homère,
ἐν οἷς	dans lesquels
καὶ ὁ ἵππος τοῦ Ἀχιλλέως,	aussi le cheval d'Achille,
φράσας χαίρειν μακρὰ	ayant-dit un long adieu
τῷ χρεμετίζειν,	au hennissement,
ἕστηκεν ἐν μέσῳ τῷ πολέ-	se tient-debout au milieu du combat
διαλεγόμενος [μῳ	parlant
ῥαψῳδῶν	en-débitant-à-la-façon-des-rhapsodes
ἔπη ὅλα	des vers-épiques entiers
οὐκ ἄνευ τῶν μέτρων	non sans les mètres (en prose)
ὥσπερ ἐγὼ νῦν·	comme je *parle* maintenant ;
ἀλλὰ καὶ ἐκεῖνος	mais même celui-là
ἐμαντεύετο	prophétisait,
καὶ προεθέσπιζε	et prédisait
τὰ μέλλοντα	les *choses* à-venir
καὶ ἐδόκει	et il paraissait
ποιεῖν οὐδέν τι παράδοξον,	ne faire rien d'étrange,
οὐδὲ ὁ ἀκούων ἐπεκαλεῖτο,	et celui-qui-l'entendait n'appelait pas,
ὥσπερ σύ,	comme toi,
τὸν ἀλεξίκακον	le *dieu* qui-écarte-les-fléaux
ἡγούμενος	pensant
τὸ ἄκουσμα	la chose entendue
ἀποτρόπαιον.	*être* de mauvais-présage.
Καίτοι	Pourtant
τί ἂν ἐποίησας	qu'aurais-tu fait

ἂν ἐποίησας, εἴ σοι ἡ τῆς Ἀργοῦς τρόπις [1] ἐλάλησεν, ὥσπερ ποτέ, ἢ φηγὸς ἐν Δωδώνῃ [2] αὐτόφωνος ἐμαντεύσατο, ἢ εἰ βύρσας εἶδες ἑρπούσας καὶ βοῶν κρέα μυκώμενα ἡμίοπτα, περιπεπαρμένα τοῖς ὀβελοῖς [3]; Ἐγὼ δέ, Ἑρμοῦ πάρεδρος ὤν [4], λαλιστάτου καὶ λογιωτάτου θεῶν ἁπάντων, καὶ τἄλλα ὁμοδίαιτος ὑμῖν καὶ σύντροφος, οὐ χαλεπῶς ἔμελλον ἐκμαθήσεσθαι τὴν ἀνθρωπίνην φωνήν. Εἰ δὲ ἐχεμυθήσειν ὑπόσχοιό μοι, οὐκ ἂν ὀκνήσαιμί σοι τὴν ἀληθεστέραν αἰτίαν εἰπεῖν τῆς πρὸς ὑμᾶς ὁμοφωνίας καὶ ὅθεν ὑπάρχει μοι οὕτω λαλεῖν. 3. — ΜΙΚ. Ἀλλὰ μὴ ὄνειρος καὶ ταῦτά ἐστιν, ἀλεκτρυὼν οὕτω πρός με διαλεγόμενος; Εἰπὲ δ᾽ οὖν πρὸς τοῦ Ἑρμοῦ, ὦ βέλτιστε,

ainsi qu'autrefois, ou un chêne de la forêt de Dodone élever la voix pour rendre des oracles ? ou si tu avais vu des peaux d'animaux se traîner par terre et entendu mugir des morceaux de viande de bœuf à demi grillés et déjà embrochés ? Pour moi, qui suis le compagnon d'Hermès, le plus bavard et le plus éloquent de tous les dieux, qui d'ailleurs vis et loge journellement avec vous, j'ai dû apprendre sans peine le langage des hommes : au reste, si tu voulais me promettre un secret inviolable, je te donnerais la véritable raison de la conformité de mon langage avec le vôtre, je t'expliquerais d'où me vient ce don de la parole. 3. — MIC. Ne serait-ce pas encore un songe ? Un coq tenir conversation avec moi ! Je t'en conjure

εἰ ἡ τρόπις τῆς Ἀργοῦς	si la carène du *navire* Argo
ἐλάλησέν σοι,	eût parlé à toi,
ὥσπερ ποτέ,	ainsi qu'autrefois,
ἢ φηγὸς	ou *si* un-chêne
ἐν Δωδώνῃ	*dans la forêt* de Dodone
ἐμαντεύσατο	avait prophétisé
αὐτόφωνος,	parlant-lui-même,
ἢ εἰ εἶδες	ou, si tu avais vu
βύρσας	des peaux *d'animaux*
ἑρπούσας,	rampant,
καὶ κρέα βοῶν	et des chairs de bœufs
ἡμίοπτα	à-moitié-rôties
μυκώμενα,	mugissant,
περιπεπαρμένα	ayant été transpercées
τοῖς ὀβελοῖς ;	*par* les broches ?
Ἐγὼ δέ,	Mais moi,
ὢν πάρεδρος Ἑρμοῦ,	étant le compagnon d'Hermès,
λαλιστάτου καὶ λογιωτά-	le plus bavard et le plus éloquent
ἁπάντων θεῶν, [του	de tous les dieux,
καὶ ὁμοδίαιτος τὰ ἄλλα	et ayant d'ailleurs la même vie,
καὶ σύντροφος ὑμῖν,	et élevé-avec vous (les hommes),
ἔμελλον ἐκμαθήσεσθαι	je devais apprendre-à-fond
οὐ χαλεπῶς	non difficilement
τὴν φωνὴν ἀνθρωπίνην.	le langage humain.
Εἰ δὲ ὑπόσχοιό μοι	Mais si tu me promettais
ἐχεμυθήσειν,	de garder-le-silence,
οὐκ ἂν ὀκνήσαιμι	je n'hésiterais pas
εἰπεῖν σοι	à dire à toi
τὴν αἰτίαν ἀληθεστέραν	la raison plus-vraie
τῆς ὁμοφωνίας	de ma ressemblance-de-langage
πρὸς ὑμᾶς	par-rapport-à vous
καὶ ὅθεν ὑπάρχει μοι	et d'où *vient qu'il* m'est permis
λαλεῖν οὕτω.	de parler-de-la sorte.
3. ΜΙΚ. Ἀλλὰ καὶ ταῦτα	3. MIC. Mais cela aussi,
μὴ ὄνειρός ἐστιν,	n'est-ce-pas un songe,
ἀλεκτρυὼν	un coq
διαλεγόμενος πρός με	conversant avec moi
οὕτω;	ainsi ?
Εἰπὲ δὲ οὖν	Mais dis-*moi* quoi-qu'il-en-soit,
πρὸς τοῦ Ἑρμοῦ,	au nom d'Hermès,
ὦ βέλτιστε,	ô *mon* très-cher,

ὅ τι καὶ ἄλλο σοι τῆς φωνῆς αἴτιον. Ὡς δὲ σιωπήσομαι καὶ πρὸς οὐδένα ἐρῶ, τί σε χρὴ δεδιέναι ; τίς γὰρ ἂν πιστεύσειέ μοι, εἴ τι διηγοίμην ὡς ἀλεκτρυόνος αὐτὸ εἰπόντος ἀκηκοώς ; — **ΑΛΕΚ.** Ἄκουε τοίνυν παραδοξότατόν σοι εὖ οἶδ᾿ ὅτι λόγον, ὦ **Μίκυλλε**· οὑτοσὶ γὰρ ὁ νῦν σοι ἀλεκτρυὼν φαινόμενος οὐ πρὸ πολλοῦ ἄνθρωπος ἦν. — **ΜΙΚ.** Ἤκουσά τι καὶ πάλαι τοιοῦτον ἀμέλει περὶ ὑμῶν ὡς **Ἀλεκτρυών** τις νεανίσκος φίλος γένοιτο τῷ **Ἄρει**, καὶ ξυμπίνοι τῷ θεῷ καὶ ξυγκωμάζοι καὶ κοινωνοίη τῶν ἐρωτικῶν· ὁπότε γοῦν ἀπίοι παρὰ τὴν **Ἀφροδίτην** μοιχεύσων ὁ **Ἄρης**, ἐπάγεσθαι καὶ τὸν **Ἀλεκτρυόνα**, καὶ ἐπειδήπερ τὸν **Ἥλιον** μάλιστα ὑφεωρᾶτο, μὴ κατιδὼν ἐξείποι πρὸς τὸν **Ἥφαιστον**, ἔξω πρὸς ταῖς θύ-

par Hermès, dis-moi, mon cher ami, cette autre cause du prodige que je vois. Quant au silence que tu me demandes, ne crains rien : qui me croirait si je faisais le récit de ma conversation avec un coq ? — LE COQ. Écoute, Micylle, je vais te dire une chose qui te paraîtra sans doute bien étrange : tu me vois à présent sous la figure d'un coq ; eh bien, j'étais homme il n'y a pas longtemps. — MIC. On m'a conté autrefois une histoire qui paraît avoir du rapport avec ce que tu dis là. Un jeune homme, nommé Alektryon, était l'ami d'Arès, son compagnon de table et d'ivresse, le confident de ses amours. Toutes les fois qu'Arès allait voir Aphroditè, sa maîtresse, il emmenait avec lui Alektryon, et comme il craignait surtout d'être aperçu par le Soleil, qui n'aurait pas manqué d'avertir Héphaïstos, il laissait le jeune homme en sentinelle à la

ὅ τι καὶ ἄλλο	quelle autre-chose enfin
αἴτιόν σοι	*est* cause pour-toi
τῆς φωνῆς.	de la voix.
Ὡς δὲ σιωπήσομαι	Quant au-fait-que je me tairai
καὶ ἐρῶ πρὸς οὐδένα,	et *ne* parlerai à personne,
τί χρή σε δεδιέναι ;	que faut-il *que* tu craignes ?
τίς γὰρ ἂν πιστεύσειέ μοι	qui en effet me croirait
εἰ διηγοίμην τι	si je racontais quelque-chose
ὡς ἀκηκοώς	comme ayant entendu
ἀλεκτρυόνος	un coq
αὐτὸ εἰπόντος ;	le disant ?
ΑΛΕΚ. Ἄκουε τοίνυν	LE COQ. Écoute donc
λόγον	un récit
παραδοξότατόν σοι	très-étrange pour-toi
εὖ οἶδα ὅτι,	je-le-sais bien,
ὦ Μίκυλλε·	ô Micylle :
οὑτοσὶ γὰρ ὁ φαινόμενος	celui-ci (moi) en effet paraissant
ἀλεκτρυών σοι	un-coq à toi,
ἦν ἄνθρωπος	j'étais un-homme
οὐ πρὸ πολλοῦ.	il n'y a pas beaucoup de temps.
ΜΙΚ. Ἤκουσα πάλαι	MIC. J'ai entendu autrefois
τι καὶ τοιοῦτον	quelque-chose même de-ce-genre
ἀμέλει περὶ ὑμῶν	assurément, à propos de vous
ὥς τις Ἀλεκτρυών,	qu'un certain Alektryon,
νεανίσκος	un jeune homme,
γένοιτο φίλος τῷ Ἄρει,	était l'ami à (d') Arès,
καὶ ξυμπίνοι	et banquetait
καὶ ξυγκωμάζοι τῷ θεῷ	et festoyait avec le dieu
καὶ κοινωνοίη τῶν ἐρωτι-	et partageait ses affaires-d'amour ;
ὁπότε γοῦν [κῶν·	toutes-les-fois du-moins
ὁ Ἄρης ἀπίοι	qu'Arès s'en-allait
μοιχεύσων	devant commettre-l'adultère
παρὰ τὴν Ἀφροδίτην,	auprès d'Aphroditè,
ἐπάγεσθαι	*on dit lui* amener-avec-lui
τὸν Ἀλεκτρυόνα,	Alektryon,
καὶ ἐπειδήπερ	et puisque
ὑφεωρᾶτο μάλιστα	il redoutait surtout
τὸν Ἥλιον,	le Soleil,
μὴ ἐξείποι κατιδὼν	qu'il ne *le* dise, *l'*ayant-observé,
πρὸς τὸν Ἥφαιστον,	à Héphaïstos,
ἀπολείπειν ἀεὶ ἔξω	laisser toujours dehors

ραις ἀπολείπειν ἀεὶ τὸν νεανίσκον, μηνύσοντα ὁπότε ἀνίσχοι ὁ Ἥλιος. Εἶτά ποτε κατακοιμηθῆναι μὲν τὸν Ἀλεκτρυόνα καὶ προδοῦναι τὴν φρουρὰν ἄκοντα, τὸν δὲ Ἥλιον λαθόντα ἐπιστῆναι τῇ Ἀφροδίτῃ καὶ τῷ Ἄρει ἀφρόντιδι ἀναπαυομένῳ διὰ τὸ πιστεύειν τὸν Ἀλεκτρυόνα μηνῦσαι ἄν, εἴ τις ἐπίοι· καὶ οὕτω τὸν Ἥφαιστον παρ᾽ Ἡλίου μαθόντα συλλαβεῖν αὐτούς, περιβαλόντα καὶ σαγηνεύσαντα τοῖς δεσμοῖς ἃ πάλαι μεμηχάνητο ἐπ᾽ αὐτούς[1]· ἀφεθέντα δὲ ὡς ἀφείθη, τὸν Ἄρη ἀγανακτῆσαι κατὰ τοῦ Ἀλεκτρυόνος καὶ μεταβαλεῖν αὐτὸν εἰς τουτὶ τὸ ὄρνεον αὐτοῖς ὅπλοις, ὡς ἔτι τῆς κόρυθος τὸν λόφον ἔχειν ἐπὶ τῇ κεφαλῇ, καὶ διὰ τοῦτο ὑμᾶς ἀπολογουμένους τῷ Ἄρει, ὅτ᾽ οὐδὲν ὄφελος, ἐπειδὰν αἴσθησθε ἀνελευσόμενον τὸν Ἥλιον, πρὸ πολλοῦ βοᾶν ἐπισημαινομένους τὴν ἀνατολὴν αὐτοῦ. 4. — ΑΛΕΚ. Φασὶ μὲν καὶ ταυτα, ὦ Μίκυλλε,

porte, pour lui annoncer quand paraîtrait le Soleil. Un jour Alektryon s'endort et trahit son mandat sans le vouloir. Le Soleil, en tapinois, surprend Aphroditè et Arès, qui reposent sans inquiétude, se fiant à la vigilance d'Alektryon, s'il survenait quelqu'un. Puis il va prévenir Héphaïstos, qui enveloppe les deux amants dans les filets qu'il avait depuis longtemps préparés. Aussitôt après sa délivrance, Arès se met en colère contre Alektryon, et, pour le punir, le change tout armé en un oiseau, qui porte encore sur la tête l'aigrette de son casque. Depuis ce temps, pour vous justifier auprès d'Arès, quoique cela soit inutile, vous chantez longtemps avant le lever du Soleil, et vous annoncez qu'il va paraître. 4. — LE COQ. On rapporte cette histoire, Micylle, mais la mienne est

πρὸς ταῖς θύραις	aux portes
τὸν νεανίσκον,	le jeune-homme,
μηνύσοντα	devant *lui* indiquer
ὁπότε ὁ Ἥλιος ἀνίσχοι.	quand le Soleil se lèverait.
Εἶτά ποτε	Puis un jour,
τὸν Ἀλεκτρυόνα μὲν	Alektryon d'une part
κατακοιμηθῆναι	s'être endormi
καὶ προδοῦναι τὴν φρουρὰν	et trahir la garde
ἄκοντα,	sans le vouloir,
τὸν δὲ Ἥλιον λαθόντα	d'autre part le Soleil, étant caché,
ἐπιστῆναι	survenir
τῇ Ἀφροδίτῃ καὶ τῷ Ἄρει	à (auprès de) Aphroditè et Arès
ἀναπαυομένῳ ἀφρόντιδι	*lequel* s'étant reposé sans souci
διὰ τὸ πιστεύειν	à cause de la confiance
τὸν Ἀλεκτρυόνα μηνῦσαι	*que* Alektryon *le* préviendrait
εἴ τις ἐπίοι· [ἄν,	si quelqu'un vînt;
καὶ οὕτω τὸν Ἥφαιστον	et ainsi Héphaïstos
μαθόντα παρὰ Ἡλίου	instruit par le Soleil
συλλαβεῖν αὐτούς,	se-saisir-d'eux,
περιβαλόντα	*les* enveloppant
καὶ σαγηνεύσαντα	et *les* prenant-comme-dans-un-filet
τοῖς δεσμοῖς ἃ [τούς·	par les liens que [eux;
πάλαι μεμηχάνητο ἐπὶ αὐ-	depuis-longtemps il avait imaginés contre
ἀφεθέντα δὲ ὡς ἀφείθη,	et *une fois* libéré comme il fut libéré,
τὸν Ἄρη ἀγανακτῆσαι	Arès s'emporter
κατὰ τοῦ Ἀλεκτρυόνος	contre Alektryon
καὶ μεταβαλεῖν αὐτὸν	et changer lui
εἰς τουτὶ τὸ ὄρνεον	en cet oiseau-ci (que tu es)
αὐτοῖς ὅπλοις,	avec ses armes,
ὡς ἔχειν ἔτι	en sorte qu'il a encore
τὸν λόφον τῆς κόρυθος	l'aigrette du casque
ἐπὶ τῇ κεφαλῇ,	sur la tête,
καὶ διὰ τοῦτο	et à cause de cela
ὑμᾶς ἀπολογουμένους	vous justifiant
τῷ Ἄρει,	à Arès,
ὅτε οὐδὲν ὄφελος,	alors qu'*il n'y a* aucune utilité,
ἐπειδὰν αἴσθησθε	chaque fois que vous percevez
τὸν Ἥλιον ἀνελευσόμενον	le Soleil devant se lever
βοᾶν πρὸ πολλοῦ	pousser-des-cris bien à l'avance
ἐπισημαινομένους	*en* signalant
τὴν ἀνατολὴν αὐτοῦ.	le lever de lui.
4. ΑΛΕΚ. Φασὶ μὲν καὶ	4. LE COQ. Ils disent (on dit) en effet cela,
ὦ Μίκυλλε, [ταῦτα,	ô Micylle,

τὸ δ᾽ ἐμὸν ἑτεροῖόν τι γέγονε, καὶ πάνυ ἔναγχος εἰς ἀλεκτρυόνα σοι μεταβέβηκα. — **ΜΙΚ.** Πῶς; ἐθέλω γὰρ τοῦτο μάλιστα εἰδέναι. — **ΑΛΕΚ.** Ἀκούεις τινὰ Πυθαγόραν Μνησαρχίδην Σάμιον; — **ΜΙΚ.** Τὸν σοφιστὴν λέγεις, τὸν ἀλαζόνα, ὃς ἐνομοθέτει μήτε κρεῶν γεύεσθαι μήτε κυάμους ἐσθίειν, ἥδιστον ἐμοὶ γοῦν ὄψον ἐκτράπεζον ἀποφαίνων, ἔτι δὲ πείθων τοὺς ἀνθρώπους ὡς πρὸ τοῦ Πυθαγόρου Εὔφορβος γένοιτο[1]· γόητά φασι καὶ τερατουργόν, ὦ ἀλεκτρυών. — **ΑΛΕΚ.** Ἐκεῖνος αὐτὸς ἐγώ σοί εἰμι ὁ Πυθαγόρας· ὥστε παῦ᾽, ὦ ᾽γαθέ, λοιδορούμενός μοι, καὶ ταῦτα οὐκ εἰδὼς οἷός τις ἦν τὸν τρόπον. — **ΜΙΚ.** Τοῦτ᾽ αὖ μακρῷ ἐκείνου τερατωδέστερον, ἀλεκτρυὼν

bien différente, et c'est tout récemment que je suis devenu coq. – MIC. Comment cela ? Voilà ce que je veux savoir avant tout. – LE COQ. Tu as sans doute entendu parler d'un certain Pythagore de Samos, fils de Mnésarque ? – MIC. Tu veux parler de ce sophiste, de ce vantard qui défend de goûter de la chair des animaux, de manger des fèves, proscrivant ainsi des tables un mets, à mon goût, excellent. C'est lui qui persuadait aux hommes qu'il avait été Euphorbe avant d'être Pythagore, et il passe pour un charlatan et un faiseur de prodiges. – LE COQ. C'est moi-même qui suis ce Pythagore ; ainsi, mon bel ami, cesse de m'injurier, d'autant plus que tu ignores quel était mon caractère. – MIC. Voilà qui est encore plus prodigieux, un coq philosophe ! Dis-moi, cependant,

τὸ δὲ ἐμὸν	mais en ce qui me concerne
ἑτεροῖόν τι γέγονε,	quelque chose de différent s'est passé,
καὶ μεταβέβηκά σοι	et je *me* suis changé pour-toi
εἰς ἀλεκτρυόνα	en coq
πάνυ ἔναγχος.	tout à fait récemment.
ΜΙΚ. Πῶς;	MIC. Comment ?
ἐθέλω γὰρ	Je veux en effet
εἰδέναι μάλιστα τοῦτο.	savoir surtout cela.
ΑΛΕΚ. Ἀκούεις	LE COQ. Tu entends (tu as entendu parler)
τινὰ Πυθαγόραν	d'un certain Pythagore
Σάμιον	de Samos,
Μνησαρχίδην;	fils-de Mnésarque ?
ΜΙΚ. Λέγεις	MIC. Tu parles
τὸν σοφιστήν,	du sophiste,
τὸν ἀλαζόνα,	de l'imposteur,
ὃς ἐνομοθέτει	qui prescrivait
μήτε γεύεσθαι κρεῶν	de-ne-pas goûter aux viandes
μήτε ἐσθίειν κυάμους,	et de-ne-pas manger de fèves,
ἀποφαίνων	déclarant
ὄψον ἥδιστον	un plat très-agréable
ἐμοὶ γοῦν,	à moi tout-au-moins,
ἐκτράπεζον,	exclu des tables,
ἔτι δὲ	encore d'autre-part
πείθων τοὺς ἀνθρώπους	persuadant aux hommes
ὡς γένοιτο Εὔφορβος	qu'il avait été Euphorbe
πρὸ τοῦ Πυθαγόρου·	avant *d'être* Pythagore ;
φασὶ γόητα	on *le* dit charlatan
καὶ τερατουργόν,	et faiseur-de-prodiges,
ὦ ἀλεκτρυών.	ô coq.
ΑΛΕΚ. Ἐγώ εἰμί σοι	LE COQ. Moi je suis pour toi
ἐκεῖνος αὐτὸς ὁ Πυθαγό- [ρας·	ce même Pythagore ;
ὥστε παῦε,	de-sorte-que cesse,
ὦ ἀγαθέ,	ô bon,
λοιδορούμενός μοι	injuriant moi (de m'injurier)
καὶ ταῦτα	et cela
οὐκ εἰδὼς	ne sachant pas
οἷός τις ἦν	quel-homme j'étais
τὸν τρόπον.	*quant* au caractère.
ΜΙΚ. Τοῦτο αὖ,	MIC. Ceci encore,
ἀλεκτρυὼν φιλόσοφος,	à-savoir-un coq philosophe,
τερατωδέστερον	*est* plus prodigieux
μακρῷ ἐκείνου.	de beaucoup que cela.

φιλόσοφος. Εἰπὲ δὲ ὅμως, ὦ Μνησάρχου παῖ, ὅπως ἡμῖν ἀντὶ μὲν ἀνθρώπου ὄρνις, ἀντὶ δὲ Σαμίου Ταναγρικὸς[1] ἀναπέφηνας· οὐ πιθανὰ γὰρ ταῦτα οὐδὲ πάνυ πιστεῦσαι ῥᾴδια, ἐπεὶ καὶ δύ᾽ ἤδη μοι τετηρηκέναι δοκῶ πάνυ ἀλλότρια ἐν σοὶ τοῦ Πυθαγόρου. — ΑΛΕΚ. Τὰ ποῖα ; — ΜΙΚ. Ἓν μὲν ὅτι λάλος εἶ καὶ κρακτικός, ὁ δὲ σιωπᾶν ἐς πέντε ὅλα ἔτη, οἶμαι, παρῄνει, ἕτερον δὲ καὶ παντελῶς παράνομον· οὐ γὰρ ἔχων ὅ τι σοι παραβάλοιμι ἀλλ᾽ ἢ κυάμους χθὲς ἧκον, ὡς οἶσθα, καὶ σὺ οὐδὲν μελλήσας ἀνέλεξας αὐτούς· ὥστε ἢ ἐψεῦσθαί σοι ἀνάγκη καὶ ἄλλῳ εἶναι, ἢ Πυθαγόρᾳ ὄντι παρανενομηκέναι καὶ τὸ ἴσον ἠσεβηκέναι κυάμους φαγόντα, ὡς ἂν εἰ τὴν κεφαλὴν

fils de Mnésarque, comment d'homme tu es devenu oiseau, et Tanagréen de citoyen de Samos. Cela est bien inconcevable et bien difficile à croire : d'ailleurs, j'ai, si je ne me trompe, remarqué en toi deux choses tout à fait étrangères aux principes de Pythagore. — LE COQ. Lesquelles ? — MIC. D'abord, que tu es bavard et bruyant, au lieu que Pythagore prescrivait à ses disciples de garder le silence cinq ans entiers, je crois. Ensuite, autre action tout à fait illicite, hier, en rentrant chez moi, s'il t'en souvient, je t'ai jeté des fèves, n'ayant rien autre chose à te donner, et tu en as sans tarder fait ton profit. Ainsi, ou tu as menti et tu as pris un faux nom, ou, si tu es en effet Pythagore, tu as violé tes lois et commis en avalant des fèves une impiété aussi grande que si tu avais mangé la tête de

Εἰπὲ δὲ ὅμως,	Mais dis toutefois,
ὦ παῖ Μνησάρχου,	ô fils de Mnésarque,
ὅπως ἀναπέφηνας ἡμῖν	comment tu es apparu à nous
ὄρνις μὲν	oiseau d'une part
ἀντὶ ἀνθρώπου,	au-lieu-d'homme,
Ταναγρικὸς δὲ	Tanagrien d'autre part
ἀντὶ Σαμίου·	au-lieu-de Samien ;
ταῦτα γὰρ	car ces-choses
οὐ πιθανὰ	ne *sont* pas probables
οὐδὲ πάνυ ῥᾴδια	ni tout-à-fait aisées
πιστεῦσαι,	à croire,
ἐπεὶ	puisque (en effet)
δοκῶ μοι	je parais à moi
τετηρηκέναι	avoir remarqué
καὶ δύο ἐν σοὶ	même deux-*choses* en toi
πάνυ ἀλλότρια	tout-à-fait étrangères
τοῦ Πυθαγόρου.	à Pythagore.
ΑΛΕΚ. Τὰ ποῖα ;	LE COQ. Lesquelles ?
ΜΙΚ. Ἓν μὲν	MIC. Une d'abord,
ὅτι εἶ λάλος	*c'est* que tu es bavard
καὶ κρακτικός,	et criard,
ὁ δέ, οἶμαι,	tandis-que lui (Pythagore), je pense,
παρῄνει σιωπᾶν	prescrivait de-se-taire
ἐς πέντε ἔτη ὅλα,	jusqu'à cinq ans entiers ;
ἕτερον δὲ	une-autre ensuite
καὶ παντελῶς παράνομον·	même tout-à-fait illicite :
ἧκον γὰρ χθὲς	car je vins hier
οὐκ ἔχων	n'ayant *rien*
ὅ τι παραβάλοιμι	que je te jetasse,
ἀλλὰ ἢ κυάμους,	excepté des fèves,
ὡς οἶσθα,	comme tu sais,
καὶ σὺ οὐδὲν μελλήσας	et toi, n'ayant-tardé en-rien,
ἀνέλεξας αὐτούς·	tu as-recueilli elles ;
ὥστε ἀνάγκη σοι	de-sorte-que nécessité *est* à toi
ἢ ἐψεῦσθαι	ou d'avoir menti
καὶ εἶναι ἄλλῳ,	et d'être un-autre (que Pythagore),
ἢ ὄντι Πυθαγόρᾳ	ou étant Pythagore
παρανενομηκέναι	d'avoir-violé-les-lois
καὶ τὸ ἴσον ἠσεβηκέναι	et d'avoir commis le même sacrilège
φαγόντα κυάμους,	ayant mangé des fèves,
ὡς ἂν εἰ	que (tu aurais commis) si
ἐδηδόκεις	tu avais mangé

τοῦ πατρὸς ἐδηδόκεις[1]. 5. — **ΑΛΕΚ.** Οὐ γὰρ οἶσθα, ὦ Μίκυλλε, ἥτις αἰτία τούτων οὐδὲ τὰ πρόσφορα ἑκάστῳ βίῳ. Ἐγὼ δὲ τότε μὲν οὐκ ἤσθιον τῶν κυάμων, ἐφιλοσόφουν γάρ· νῦν δὲ φάγοιμ᾽ ἄν, ὀρνιθικὴ γὰρ καὶ οὐκ ἀπόρρητος ἡμῖν ἡ τροφή. Πλὴν ἀλλ᾽ εἴ σοι φίλον, ἄκουε ὅπως ἐκ Πυθαγόρου τοῦτο νῦν εἰμι καὶ ἐν οἵοις πρότερον ἐβιότευσα βίοις καὶ ἅτινα τῆς μεταβολῆς ἀπολέλαυκα ἑκάστης. — **ΜΙΚ.** Λέγοις ἄν· ὡς ἔμοιγε ὑπερήδιστον ἂν τὸ ἄκουσμα γένοιτο, ὥστε εἴ τις αἵρεσιν προθείη, πότερα μᾶλλον ἐθέλω σοῦ ἀκούειν τὰ τοιαῦτα διεξιόντος ἢ τὸν πανευδαίμονα ὄνειρον ἐκεῖνον αὖθις ὁρᾶν τὸν μικρὸν ἔμπροσθεν, οὐκ οἶδα ὁπότερον ἂν ἑλοίμην·

ton père. 5. — LE COQ. C’est que tu ne connais, Micylle, ni les motifs de ma conduite ni les devoirs relatifs à chaque condition. Quand j’étais Pythagore, je ne mangeais pas de fèves, parce que j’étais philosophe ; mais aujourd’hui, j’use de cette nourriture qui convient à la volaille et qui ne nous est pas interdite. Cependant, apprends, si tu veux, comment de Pythagore je suis à présent ce que tu vois, quelles existences j’ai eues et quels avantages j’ai retirés de chacune de mes métamorphoses. — MIC. Parle, mon coq ; car le récit de tes aventures me sera des plus agréables, au point que, si on me laissait le choix ou d’entendre ton histoire, ou de revoir ce bienheureux songe qui me donnait tant de plaisir tout à l’heure, je ne

τὴν κεφαλὴν τοῦ πατρός.	la tête de-ton père.
5. ΑΛΕΚ. Οὐ γὰρ οἶσθα,	5. LE COQ. Tu ne sais pas en effet,
ὦ Μίκυλλε,	ô Micylle,
ἥτις αἰτία τούτων	quelle *est la* cause de-ces choses
οὐδὲ τὰ πρόσφορα	ni les choses convenables
ἑκάστῳ βίῳ.	à chaque existence.
Ἐγὼ δὲ τότε μὲν	Moi, certes, alors à-la-vérité
οὐκ ἤσθιον τῶν κυάμων,	je ne mangeais pas des fèves,
ἐφιλοσόφουν γάρ·	car j’étais philosophe ;
νῦν δὲ	mais maintenant
φάγοιμι ἄν,	j’en mangerais,
ἡ γὰρ τροφὴ	car cette nourriture
ὀρνιθικὴ	*est une nourriture* propre-à-la-volaille
καὶ οὐκ ἀπόρρητος	et n’*est* pas interdite
ἡμῖν.	à nous.
Πλὴν ἀλλὰ εἴ σοι φίλον,	D’ailleurs si *cela est* agréable à toi,
ἄκουε ὅπως	écoute comment
ἐκ Πυθαγόρου	de Pythagore
εἰμὶ νῦν τοῦτο	je suis maintenant ceci (ton coq),
καὶ ἐν οἵοις βίοις	et dans quelles vies
ἐβιότευσα πρότερον	j’ai vécu auparavant
καὶ ἅτινα	et quels (fruits)
ἀπολέλαυκα	j’ai recueilli
τῆς μεταβολῆς ἑκάστης.	de chaque métamorphose.
ΜΙΚ. Λέγοις ἄν·	MIC. Tu parlerais (peux parler),
ὡς ἔμοιγε	car pour moi-certes
τὸ ἄκουσμα γένοιτο ἂν	l’audition serait
ὑπερήδιστον,	très-agréable,
ὥστε εἴ τις	au-point-que si quelqu’un
προθείη αἵρεσιν,	*me* donnait le choix,
πότερα ἐθέλω μᾶλλον	si j’aime mieux
ἀκούειν σοῦ	écouter toi
διεξιόντος τοιαῦτα	racontant de telles-choses
ἢ ὁρᾶν αὖθις	ou voir de nouveau
τὸν ὄνειρον ἐκεῖνον	ce songe
πανευδαίμονα	tout-à-fait-heureux
τὸν μικρὸν ἔμπροσθεν,	celui d’un-peu avant,
οὐκ οἶδα	je ne sais pas
ὁπότερον ἂν ἑλοίμην·	lequel-des-deux je choisirais ;

οὕτως ἀδελφὰ ἡγοῦμαι τὰ σὰ τοῖς ἡδίστοις φανεῖσι καὶ ἐν ἴσῃ τιμῇ ὑμᾶς ἄγω σέ τε καὶ τὸ πολυτίμητον ἐνύπνιον. — **ΑΛΕΚ.** Ἔτι γὰρ σὺ ἀναπεμπάζῃ τὸν ὄνειρον, ὅστις ποτὲ ὁ φανείς σοι ἦν καί τινα ἰνδάλματα μάταια διαφυλάττεις, κενὴν καί, ὡς ὁ ποιητικὸς λόγος [1], ἀμενηνήν τινα εὐδαιμονίαν τῇ μνήμῃ μεταδιώκων; **6.** — **ΜΙΚ.** Ἀλλ᾽ οὐδ᾽ ἐπιλήσομαί ποτε, ὦ ἀλεκτρυών, εὖ ἴσθι, τῆς ὄψεως ἐκείνης· οὕτω μοι πολὺ τὸ μέλι ἐν τοῖς ὀφθαλμοῖς ὁ ὄνειρος καταλιπὼν ᾤχετο, ὡς μόγις ἀνοίγειν τὰ βλέφαρα ὑπ᾽ αὐτοῦ εἰς ὕπνον αὖθις κατασπώμενα. Οἷον γοῦν ἐν τοῖς ὠσὶ τὰ πτερὰ ἐργάζεται στρεφόμενα, τοιοῦτον γάργαλον παρεῖχέ μοι τὰ δρώμενα. — **ΑΛΕΚ.** Ἡράκλεις, δεινόν τινα φής, εἴ γε πτηνὸς ὤν, ὥς φα-

sais auquel je me déterminerais, tant cette conversation et ce songe délicieux ont un air de famille, tant je prise également ta personne et la vision qui a charmé mes sens. — LE COQ. Quoi ! tu reviens encore sur ce songe quel qu'il ait été ? Tu conserves encore un vain fantôme, et poursuis en souvenir un bonheur chimérique qui, pour te parler comme les poètes, se dissipe en fumée ? **6.** — MIC. Mais jamais je n'oublierai, sache-le bien, mon coq, ce songe-là. Il a laissé sur mes yeux un baume si puissant, que j'ai peine à ouvrir mes paupières, qui se referment d'elles-mêmes au sommeil. Imagine le chatouillement que l'on ressent à tourner une plume dans l'oreille, et tu auras l'idée de la sensation que m'a fait éprouver mon songe. — LE COQ. En vérité, tu me parles là d'un songe bien étrange, si, étant ailé, d'après ce que l'on dit, et ne devant voler que dans le

οὕτως ἡγοῦμαι	tellement je pense
τὰ σὰ	les-choses tiennes (ton histoire)
ἀδελφὰ	*être* sœurs
τοῖς φανεῖσι ἡδίστοις	des visions les-plus-agréables
καὶ ἄγω ὑμᾶς ἐν ἴσῃ τιμῇ	et je vous tiens en égale estime
σέ τε	et toi
καὶ τὸ ἐνύπνιον πολυτίμη-	et le songe très estimable.
ΑΛΕΚ. Σὺ γὰρ [τον.	LE COQ. Toi donc
ἀναπεμπάζῃ ἔτι	tu repenses encore
τὸν ὄνειρον	au songe,
ὅστις ποτὲ ἦν	quel qu'ait été
ὁ φανείς σοι	celui qui-t'est-apparu
καὶ διαφυλάττεις	et tu conserves
τινὰ ἰνδάλματα μάταια,	quelques images vaines,
μεταδιώκων τῇ μνήμῃ	poursuivant *par* le souvenir
εὐδαιμονίαν τινὰ	une certaine félicité
κενὴν καὶ ἀμενηνήν,	vide et sans force,
ὡς ὁ ποιητικὸς λόγος;	comme *dit* la langue poétique ?
6. ΜΙΚ. Ἀλλὰ οὐδέ ποτε	**6.** MIC. Mais pas-même jamais
ἐπιλήσομαι,	je *n'*oublierai,
ὦ ἀλεκτρυών,	ô coq,
τῆς ἐκείνης ὄψεως,	cette vision-là,
εὖ ἴσθι·	sache-*le* bien :
ὁ ὄνειρος ᾤχετο	le songe s'en est allé
καταλιπών μοι	ayant-laissé à moi
ἐν τοῖς ὀφθαλμοῖς	dans (sur) les yeux
τὸ μέλι οὕτω πολύ,	le miel si considérable,
ὡς ἀνοίγειν μόγις	au-point-d'ouvrir avec-peine
τὰ βλέφαρα	les paupières
κατασπώμενα αὖθις	tirées de-nouveau
ὑπὸ αὐτοῦ εἰς ὕπνον.	par lui dans le sommeil.
Τὰ γοῦν δρώμενα	Du moins les *choses* vues
παρεῖχέ μοι	procuraient à moi
γάργαλον τοιοῦτον	un chatouillement tel
οἷον ἐργάζεται	que *celui-que* produisent
τὰ πτερὰ	les plumes
στρεφόμενα ἐν τοῖς ὠσί.	tournées dans les oreilles.
ΑΛΕΚ. Ἡράκλεις,	LE COQ. Par Héraclès !
φῄς τινα δεινόν,	tu dis un-certain *songe* étrange,
εἴ γε ὢν πτηνός,	si du moins étant ailé,
ὥς φασι,	comme on dit,

σι, καὶ ὅρον ἔχων τῆς πτήσεως τὸν ὕπνον, ὑπὲρ τὰ ἐσκαμμένα ἤδη πηδᾷ καὶ ἐνδιατρίβει ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς, μελιχρὸς οὕτω καὶ ἐναργὴς φαινόμενος· ἐθέλω γοῦν ἀκοῦσαι οἷός τίς ἐστιν, οὕτω σοι τριπόθητος ὤν. — **ΜΙΚ.** Ἕτοιμος λέγειν· ἡδὺ γὰρ οὖν τὸ μεμνῆσθαι καὶ διεξιέναι τι περὶ αὐτοῦ. **Σὺ** δὲ πηνίκα, ὦ Πυθαγόρα, διηγήσῃ τὰ περὶ τῶν μεταβολῶν; — **ΑΛΕΚ.** Ἐπειδὰν σύ, ὦ Μίκυλλε, παύσῃ ὀνειρώττων καὶ ἀποψήσῃ ἀπὸ τῶν βλεφάρων τὸ μέλι· νῦν δὲ πρότερος εἰπὲ ὡς μάθω εἴτε διὰ τῶν ἐλεφαντίνων πυλῶν εἴτε διὰ τῶν κερατίνων σοι ὁ ὄνειρος ἧκε πετόμενος. — **ΜΙΚ.** Οὐδὲ δι᾽ ἑτέρας τούτων, ὦ Πυθαγόρα. — **ΑΛΕΚ.**

Καὶ μὴν Ὅμηρος δύο μόνας ταύτας λέγει.

temps du sommeil, il a franchi les limites et s'est reposé sur des yeux éveillés, plein de douceur et si près de la réalité ! Je veux du moins entendre le détail d'un songe qui te plaît si fort. — MIC. Tu seras obéi, car il m'est agréable de me le rappeler et d'en raconter les circonstances ; et toi, Pythagore, quand me parleras-tu de tes métamorphoses ? — LE COQ. Ce sera, Micylle, quand tu ne rêveras plus, et que tu auras essuyé le miel versé sur tes paupières : en attendant, parle le premier, afin que j'apprenne si ton songe est venu en volant par la porte d'ivoire ou celle de corne. — MIC. Ni par l'une ni par l'autre, Pythagore. — LE COQ. Cependant Homère

καὶ ἔχων τὸν ὕπνον	et ayant le sommeil
ὅρον τῆς πτήσεως,	*comme* limite de son vol,
ἤδη πηδᾷ	il s'élance
ὑπὲρ τὰ ἐσκαμμένα	au-delà de ses limites
καὶ ἐνδιατρίβει	et s'arrête-sur
τοῖς ὀφθαλμοῖς ἀνεῳγόσι,	tes yeux ouverts,
φαινόμενος	paraissant
οὕτω ἐναργὴς καὶ μελι-	si clair et doux-comme-le-miel :
ἐθέλω γοῦν [χρός·	je veux du moins
ἀκοῦσαι οἷός τίς ἐστιν,	entendre quel il est,
ὢν οὕτω	étant ainsi
τριπόθητός σοι.	trois-fois-désiré de toi.
ΜΙΚ. Ἕτοιμος λέγειν·	MIC. *Je suis* prêt à-parler,
τὸ γὰρ οὖν μεμνῆσθαι	car après-tout le me-souvenir
καὶ διεξιέναι τι	et raconter quelque-chose
περὶ αὐτοῦ	au-sujet-de lui
ἡδύ μοι.	*est* agréable à moi.
Σὺ δέ, ὦ Πυθαγόρα,	Mais toi, ô Pythagore,
πηνίκα διηγήσῃ	quand raconteras-tu
τὰ περὶ	les *choses* au-sujet-de
τῶν μεταβολῶν;	tes métamorphoses ?
ΑΛΕΚ. Ἐπειδὰν σύ,	LE COQ. Lorsque toi,
ὦ Μίκυλλε,	ô Micylle,
παύσῃ	tu cesseras
ὀνειρώττων	rêvant (de rêver)
καὶ ἀποψήσῃ τὸ μέλι	et *que* tu auras-essuyé le miel
ἀπὸ τῶν βλεφάρων·	de tes paupières ;
νῦν δὲ	mais maintenant
εἰπὲ πρότερος	parle le premier
ὡς μάθω	afin que j'apprenne
εἴτε ὁ ὄνειρος	si le songe
ἧκέ σοι	est venu à toi
πετόμενος	en volant
διὰ τῶν πυλῶν	par les portes
ἐλεφαντίνων	d'ivoire
εἴτε	ou si *c'est*
διὰ τῶν κερατίνων.	par celles de-corne.
ΜΙΚ. Διὰ οὐδὲ ἑτέρας	MIC. Par aucune-des-deux
τούτων,	de ces *portes,*
ὦ Πυθαγόρα.	ô Pythagore.
ΑΛΕΚ. Καὶ μὴν	LE COQ. Et cependant
Ὅμηρος λέγει	Homère dit

— **ΜΙΚ.** Ἔα χαίρειν τὸν λῆρον ἐκεῖνον ποιητὴν οὐδὲν εἰδότα ὀνείρων πέρι. Οἱ πένητες ἴσως ὄνειροι διὰ τῶν τοιούτων ἐκφοιτῶσιν, οἵους ἐκεῖνος ἑώρα, οὐ δὴ πάνυ σαφῶς τυφλὸς αὐτὸς ὤν· ἐμοὶ δὲ διὰ χρυσῶν τινων πυλῶν ὁ ἥδιστος ἀφίκετο χρυσοῦς καὶ αὐτός, χρυσᾶ πάντα περιβεβλημένος καὶ πολὺ ἐπαγόμενος χρυσίον. — **ΑΛΕΚ.** Παῦε, ὦ Μίδα βέλτιστε, χρυσολογῶν· ἀτεχνῶς γὰρ ἐκ τῆς ἐκείνου σοι εὐχῆς τὸ ἐνύπνιον, καὶ μέταλλα ὅλα χρυσίου κεκοιμῆσθαί μοι δοκεῖς. 7. — **ΜΙΚ.** Πολύ, ὦ Πυθαγόρα, χρυσίον εἶδον, πολύ, πῶς οἴει καλὸν ἢ οἵαν τὴν αὐγὴν ἀπαστράπτον; Τί ποτε ὁ Πίνδαρός φησι περὶ αὐτοῦ ἐπαινῶν; ἀνάμνησον γάρ με, εἴπερ

ne parle que de ces deux-là. — MIC. Laisse-là ton radoteur de poète tout à fait ignorant en matière de songes. Les songes misérables, sans doute, sortent par ces portes-là ; des songes tels que les voyait Homère, qui n'était pas tout à fait aveugle, à ce qu'il paraît. Quant au songe délicieux que j'ai eu, il est sorti par des portes d'or, il était lui-même tout d'or, environné d'or, et m'apportait beaucoup d'or. — LE COQ. Cesse, mon cher Midas, de parler d'or : car ton songe provient sûrement du fameux souhait de ce roi, et je crois que tu as rêvé des mines d'or tout entières. 7. — MIC. Ah ! Pythagore, j'ai vu beaucoup d'or, oui, beaucoup d'or. Peux-tu t'imaginer combien il était beau, de quel éclat il brillait ! Que dit donc Pindare en faisant l'éloge de l'or ? Rappelle-moi, si tu le sais, ce passage, où,

δύο ταύτας μόνας.	ces deux seules.
ΜΙΚ. Ἔα χαίρειν	MIC. Envoie promener
τὸν λῆρον ἐκεῖνον ποιητὴν	ce poète radoteur
εἰδότα οὐδὲν	ne sachant rien
περὶ ὀνείρων.	au-sujet-des songes.
Οἱ πένητες ὄνειροι	Les songes pauvres
ἐκφοιτῶσιν ἴσως	sortent peut-être
διὰ τῶν τοιούτων,	par celles-là,
οἵους ἐκεῖνος	tels-que-ceux-que celui-là
ἑώρα, οὐ δὴ ὢν	voyait, n'étant donc pas
αὐτὸς	quant-à-lui
πάνυ σαφῶς τυφλός·	tout-à-fait clairement aveugle ;
ὁ δὲ ἥδιστος	mais *le songe* le plus agréable
ἀφίκετο ἐμοὶ	est arrivé à moi
διά τινων πυλῶν	par certaines portes
χρυσῶν	d'or
καὶ αὐτὸς χρυσοῦς,	et lui-même étant d'or,
περιβεβλημένος	ayant mis-autour *de lui*
πάντα χρυσᾶ	toutes-choses d'or,
καὶ ἐπαγόμενος	et amenant-en-outre *avec lui*
πολὺ χρυσίον.	beaucoup d'or.
ΑΛΕΚ. Παῦε,	LE COQ. Cesse,
ὦ βέλτιστε Μίδα,	ô très-cher Midas,
χρυσολογῶν·	parlant-d'or (de parler) ;
τὸ γὰρ ἐνύπνιόν σοι	car le songe *provient* pour toi
ἀτεχνῶς ἐκ τῆς εὐχῆς	entièrement du souhait
ἐκείνου,	de celui-ci (de l'or),
καί μοι δοκεῖς	et tu me parais
κεκοιμῆσθαι	avoir dormi (avoir possédé-en-dormant)
μέταλλα ὅλα χρυσίου.	des mines entières d'or.
7. ΜΙΚ. Εἶδον,	7. MIC. J'ai vu,
ὦ Πυθαγόρα,	ô Pythagore,
πολὺ χρυσίον	beaucoup d'or
καλόν,	beau,
πῶς οἴει	comment crois-tu,
ἢ ἀπαστράπτον	ou brillant
οἵαν τὴν αὐγήν ;	de quel éclat ?
Τί ποτέ φησι	Que dit donc
ὁ Πίνδαρός	Pindare
περὶ αὐτοῦ ἐπαινῶν;	au sujet de-lui en *le* louant ?
ἀνάμνησον γάρ με,	rappelle-moi en effet,
εἴπερ οἶσθα,	si-toutefois tu *le* sais,

οἶσθα, ὁπότε ὕδωρ ἄριστον εἰπών, εἶτα τὸ χρυσίον θαυμάζει, εὖ ποιῶν, ἐν ἀρχῇ εὐθὺς τοῦ βιβλίου [1], κάλλιστόν τι ᾀσμάτων ἁπάντων. — ΑΛΕΚ. Μῶν ἐκεῖνο ζητεῖς·

Ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ
ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου ;

— ΜΙΚ. Νὴ Δία, τοῦτ᾽ αὐτό· ὥσπερ γὰρ τοὐμὸν ἐνύπνιον ἰδὼν ὁ Πίνδαρος οὕτως ἐπαινεῖ τὸ χρυσίον. Ὡς δὲ ἤδη μάθῃς οἷόν τι ἦν, ἄκουσον, ὦ σοφώτατε ἀλεκτρυών. Ὅτι μὲν οὐκ οἰκόσιτος ἦν χθές, οἶσθα· Εὐκράτης γάρ με ὁ πλούσιος ἐντυχὼν ἐν ἀγορᾷ λουσάμενον ἥκειν ἐκέλευσεν. **8.** — ΑΛΕΚ. Οἶδα τοῦτο, πάνυ πεινήσας παρ᾽ ὅλην τὴν ἡμέραν, ἄχρι μοι βαθείας ἤδη ἑσπέρας ἧκες ὑποβεβρεγμένος, τοὺς

après avoir dit que l'eau est le plus excellent des éléments, il passe à l'or, qu'il loue avec raison, tout au commencement du plus beau de tous les chants. – LE COQ. N'est-ce pas ceci que tu demandes ?

L'eau sur les éléments a droit à la victoire ;
Mais, tel qu'on voit au sein des cieux
Scintiller dans la nuit un astre lumineux,
L'or, vainqueur des métaux, en efface la gloire.

MICYLLE. Par Zeus, c'est cela même : Pindare fait l'éloge de l'or comme s'il avait vu mon songe. Mais, pour que tu saches ce qu'était ce songe, écoute, ô très savant coq. Tu sais qu'hier je ne mangeai pas à la maison : le riche Eucrate, m'ayant rencontré sur la place publique, me dit de venir souper chez lui au sortir du bain. **8.** – LE COQ. Je ne le sais que trop, car je jeûnai tout le jour : tu ne revins le soir que fort tard, la tête échauffée par le vin, et tu me jetas ces malheureuses fèves, que je vois encore, repas bien mes-

ὁπότε εἰπὼν	le *morceau* où ayant dit
ὕδωρ ἄριστον,	*que* l'eau *est-chose* excellente,
εἶτα θαυμάζει	ensuite il admire
τὸ χρυσίον, εὖ ποιῶν,	l'or, faisant bien,
εὐθὺς ἐν ἀρχῇ	aussitôt dans le commencement
τοῦ βιβλίου,	du livre,
κάλλιστόν τι	un-certain *chant* le plus beau
ἁπάντων ᾀσμάτων.	de tous *les* chants.
ΑΛΕΚ. Μῶν	LE COQ. Est-ce que
ζητεῖς ἐκεῖνο·	tu ne cherches pas cela :
Ὕδωρ μὲν	L'eau d'une part
ἄριστον,	*est* la meilleure *chose,*
ὁ δὲ χρυσὸς	mais l'or
διαπρέπει	brille
ἔξοχα	en-surpassant
πλούτου μεγάνορος	la richesse qui-rend-fier
ἅτε πῦρ αἰθόμενον	comme un feu brûlant
νυκτί;	*brille* dans la nuit ?
ΜΙΚ. Νὴ Δία,	MIC. Oui, par Zeus,
τοῦτο αὐτό·	*c'est* cela même :
ὥσπερ γὰρ	car comme
ἰδὼν τὸ ἐμὸν ἐνύπνιον	ayant-vu mon songe
ὁ Πίνδαρος	Pindare
ἐπαινεῖ οὕτως τὸ χρυσίον.	loue ainsi l'or.
Ὡς δὲ μάθῃς	Mais afin que tu apprennes
ἤδη οἷόν τι ἦν,	dès-maintenant quel il était,
ἄκουσον,	écoute,
ὦ σοφώτατε ἀλεκτρυών.	ô très-savant coq.
Οἶσθα μὲν ὅτι χθὲς	Tu sais d'une part que hier
οὐκ ἦν οἰκόσιτος·	je n'étais pas dînant-à-la-maison
Εὐκράτης γὰρ ὁ πλούσιος	car Eucrate le riche
ἐντυχὼν ἐν ἀγορᾷ	*m'*ayant rencontré dans l'agora
ἐκέλευσέν με	me pria
λουσάμενον ἥκειν.	m'étant baigné de venir *chez lui.*
8. ΑΛΕΚ. Οἶδα τοῦτο,	**8.** LE COQ. Je sais cela,
πεινήσας πάνυ	ayant-eu-faim tout-à-fait
παρὰ ὅλην τὴν ἡμέραν,	pendant tout le jour,
ἄχρι ἧκές μοι	jusqu'à-ce-que tu es-revenu pour moi,
ἑσπέρας ἤδη βαθείας	la soirée *étant* déjà avancée,
ὑποβεβρεγμένος	un-peu-humecté (ivre)
κομίζων	apportant
τοὺς πέντε κυάμους ἐκεί- [νους,	ces cinq fèves,

πέντε κυάμους ἐκείνους κομίζων, οὐ πάνυ δαψιλὲς τὸ δεῖπνον ἀλεκτρυόνι ἀθλητῇ ποτε γενομένῳ καὶ Ὀλύμπια οὐκ ἀφανῶς ἀγωνισαμένῳ. — ΜΙΚ. Ἐπεὶ δὲ δειπνήσας ἐπανῆλθον, ἐκάθευδον εὐθὺς τοὺς κυάμους σοι παραβαλών, εἶτά μοι κατὰ τὸν Ὅμηρον « ἀμβροσίην διὰ νύκτα θεῖός τις » ὡς ἀληθῶς « ὄνειρος [1] » ἐπιστάς… — ΑΛΕΚ. Τὰ παρὰ τῷ Εὐκράτει πρότερον, ὦ Μίκυλλε, διήγησαι καὶ τὸ δεῖπνον οἷον ἐγένετο καὶ τὰ ἐν τῷ συμποσίῳ ἅπαντα· κωλύει γὰρ οὐδὲν αὖθίς σε δειπνεῖν ὥσπερ ὄνειρόν τινα τοῦ δείπνου ἐκείνου ἀναπλάττοντα καὶ ἀναμηρυκώμενον τῇ μνήμῃ τὰ βεβρωμένα. **9.** — ΜΙΚ. Ὤμην ἐνοχλήσειν καὶ ταῦτα διηγούμενος· ἐπεὶ δὲ σὺ προθυμῇ, καὶ δὴ λέγω. Οὐ πρότερον, ὦ Πυθαγόρα, παρὰ πλουσίῳ τινὶ δειπνήσας ἐν ἅπαντι τῷ βίῳ, τύχῃ τινὶ

quin pour un coq autrefois athlète et qui s'est distingué dans les jeux Olympiques. — MIC. À mon retour de ce souper, je ne t'eus pas plus tôt jeté ces fèves que je m'endormis, et pendant la nuit d'ambroisie, selon l'expression d'Homère, un songe véritablement divin m'étant survenu… — LE COQ. Raconte-moi d'abord ce qui t'arriva chez Eucrate, quelle chère tu fis à souper, et tout ce qui se passa à table : rien ne t'empêche de souper une seconde fois en songe, en t'imaginant manger encore des mets qu'on y a servis. **9.** — MIC. Je pensais que je t'ennuierais en te faisant encore ce récit, mais, puisque tu le désires, je vais parler. Mon cher Pythagore, je n'avais, de ma vie, soupé chez un riche, lorsque par

τὸ δεῖπνον	le repas
οὐ πάνυ δαψιλὲς	non tout-à-fait abondant
ἀλεκτρυόνι	*pour* un coq
γενομένῳ ποτὲ ἀθλητῇ	ayant été autrefois athlète
καὶ ἀγωνισαμένῳ	et ayant combattu
Ὀλύμπια	aux *jeux* Olympiques
οὐκ ἀφανῶς.	non obscurément.
ΜΙΚ. Ἐπεὶ δὲ	MIC. Mais lorsque
ἐπανῆλθον δειπνήσας,	je fus-revenu ayant dîné,
ἐκάθευδον	je dormais
εὐθὺς παραβαλών σοι	aussitôt ayant-jeté à-toi
τοὺς κυάμους,	les fèves,
εἶτα κατὰ τὸν Ὅμηρον	ensuite selon Homère
ὄνειρός τις	un certain songe
θεῖος ὡς ἀληθῶς	divin en-réalité
ἐπιστὰς	étant-survenu
διὰ νύκτα ἀμβροσίην…	à-travers la nuit d'ambroisie…
ΑΛΕΚ. Διήγησαι	LE COQ. Raconte
πρότερον,	d'abord,
ὦ Μίκυλλε,	ô Micylle,
τὰ παρὰ τῷ Εὐκράτει	les *choses arrivées* chez Eucrate
καὶ τὸ δεῖπνον οἷον ἐγένετο	et le repas quel il fut
καὶ ἅπαντα τὰ	et toutes les *choses qui arrivèrent*
ἐν τῷ συμποσίῳ·	dans la réunion-de-buveurs ;
οὐδὲν γὰρ κωλύει σε	rien en effet n'empêche toi
δειπνεῖν αὖθις ἀναπλάτ-	*de* dîner de-nouveau formant
ὥσπερ τινὰ ὄνειρον [τοντα	comme un certain songe
τοῦ δείπνου ἐκείνου	de ce repas-là
καὶ ἀναμηρυκώμενον	et ruminant
τῇ μνήμῃ	par la mémoire
τὰ βεβρωμένα.	les *choses* mangées.
9. ΜΙΚ. Ὤμην	**9.** MIC. Je pensais
ἐνοχλήσειν	devoir-*t'*importuner
διηγούμενος καὶ ταῦτα·	racontant aussi ces *choses :*
ἐπεὶ δὲ σὺ προθυμῇ,	mais puisque tu le désires,
καὶ δὴ λέγω.	voici-que je parle.
Ὦ Πυθαγόρα,	Ô Pythagore,
οὐ πρότερον δειπνήσας	n'ayant pas soupé auparavant
ἐν ἅπαντι τῷ βίῳ	dans toute ma vie
παρά τινι πλουσίῳ,	chez quelque riche,
ἐντυγχάνω χθὲς	je rencontre hier

ἀγαθῇ ἐντυγχάνω χθὲς τῷ Εὐκράτει, καὶ ἐγὼ μὲν προσειπὼν αὐτόν, ὥσπερ εἰώθειν, δεσπότην ἀπηλλαττόμην, ὡς μὴ καταισχύνοιμι αὐτὸν ἐν τριβακῷ τῷ τρίβωνι συμπαρομαρτῶν· ὁ δέ, « Μίκυλλε, » φησί, « θυγατρὸς τήμερον ἑστιῶ γενέθλια καὶ παρεκάλεσα τῶν φίλων μάλα πολλούς· ἐπεὶ δέ τινά φασιν αὐτῶν μαλακῶς ἔχοντα οὐχ οἷόν τε εἶναι ξυνδειπνεῖν μεθ᾽ ἡμῶν, σὺ ἀντ᾽ ἐκείνου ἧκε λουσάμενος, ἢν μὴ ὅ γε κληθεὶς αὐτὸς εἴπῃ ἀφίξεσθαι, ὡς νῦν γε ἀμφίβολός ἐστιν. » Τοῦτο ἀκούσας, ἐγὼ προσκυνήσας ἀπῄειν εὐχόμενος ἅπασι θεοῖς ἠπίαλόν τινα ἢ πλευρῖτιν ἢ ποδάγραν ἐπιπέμψαι τῷ μαλακιζομένῳ ἐκείνῳ, οὗ ἔφεδρος ἐγὼ καὶ ἀντίδειπνος καὶ διάδοχος

un heureux hasard, hier, je rencontre Eucrate. Après lui avoir dit à mon ordinaire : « Bonjour, maître, » je m'en allais de peur de lui faire honte avec mes haillons. « Micylle, me dit-il, c'est aujourd'hui l'anniversaire de la naissance de ma fille, et je régale beaucoup de mes amis ; comme l'un d'eux est indisposé et hors d'état, à ce qu'on dit, de souper avec nous, viens à sa place au sortir du bain, à moins toutefois qu'il ne me fasse avertir qu'il viendra, car c'est encore incertain. » Sur cette invitation, je lui baisai la main et me retirai en conjurant les dieux d'envoyer une bonne fièvre chaude, ou une pleurésie, ou la goutte, à ce valétudinaire que je devais doubler à table, et dont l'absence me valait un bon repas.

ἀγαθῇ τινι τύχῃ	par quelque heureux hasard
τῷ Εὐκράτει,	Eucrate,
καὶ ἐγὼ μὲν	et moi d'une part
προσειπὼν αὐτόν,	ayant dit à lui,
ὥσπερ εἰώθειν,	comme j'avais coutume,
δεσπότην,	« maître, »
ἀπηλλαττόμην,	je me retirais,
ὡς μὴ καταισχύνοιμι αὐ-	afin que je ne fisse pas rougir lui
συμπαρομαρτῶν [τὸν	*l'*accompagnant
ἐν τῷ τρίβωνι τριβακῷ·	dans mon vêtement usé ;
ὁ δέ,	lui d'autre part,
« Μίκυλλε, φησί,	« Ô Micylle, dit-il,
ἑστιῶ	je-célèbre-par-un-repas
τήμερον	aujourd'hui
γενέθλια	l'anniversaire-de-naissance
θυγατρὸς	de *ma* fille
καὶ παρεκάλεσα	et j'ai-invité
μάλα πολλοὺς	*de* très nombreux
τῶν φίλων·	de *mes* amis ;
ἐπεὶ δέ φασιν	mais comme ils disent
αὐτῶν τινα μαλακῶς ἔχον-	l'un d'eux étant indisposé
οὐχ οἷόν τε εἶναι [τα	n'être pas capable
ξυνδειπνεῖν μετὰ ἡμῶν,	de dîner avec nous,
σὺ ἧκε ἀντὶ ἐκείνου	toi, viens à la place de celui-là
λουσάμενος,	ayant pris un bain,
ἢν μὴ	à moins que
ὅ γε κληθεὶς εἴπῃ	le étant invité dise
ἀφίξεσθαι αὐτός,	devoir-venir lui-même,
ὥς γε νῦν	car certes maintenant
ἀμφίβολός ἐστι. »	il est incertain. »
Ἀκούσας τοῦτο	Ayant entendu cela
ἐγὼ	moi
προσκυνήσας ἀπῄειν	ayant baisé *sa main* je m'éloignais
εὐχόμενος ἅπασι θεοῖς	en priant tous les dieux
ἐπιπέμψαι	d'envoyer
ἠπίαλόν τινα	quelque fièvre-continue
ἢ πλευρῖτιν ἢ ποδάγραν	ou une pleurésie ou la goutte
τῷ ἐκείνῳ μαλακιζομένῳ,	à cet homme affaibli,
οὗ ἐγὼ ἐκεκλήμην	dont j'avais été appelé
ἔφεδρος καὶ ἀντίδειπνος	*comme* suppléant et remplaçant-à-table
καὶ διάδοχος·	et successeur ;

ἐκεκλήμην· καὶ τὸ ἄχρι τοῦ λουτροῦ αἰῶνα μήκιστον ἐτιθέμην, συνεχὲς ἐπισκοπῶν ὁποσάπουν τὸ στοιχεῖον εἴη καὶ πηνίκα ἤδη λοῦσθαι δέοι. Κἀπειδή ποτε ὁ καιρὸς ἀφίκετο, πρὸς τάχος ἐμαυτὸν ἀπορρύψας ἀπέρχομαι κοσμίως μάλα ἐσχηματισμένος, ἀναστρέψας τὸ τριβώνιον ὡς ἐπὶ τοῦ καθαρωτέρου γένοιτο ἡ ἀναβολή. **10.** Καταλαμβάνω δὲ πρὸς ταῖς θύραις ἄλλους τε πολλοὺς καὶ δὴ κἀκεῖνον φοράδην ὑπὸ τεττάρων κεκομισμένον, ᾧ με ὑποδειπνεῖν ἔδει, τὸν νοσεῖν λεγόμενον, καὶ ἐδήλου δὲ πονήρως ἔχων· ὑπέστενε γοῦν καὶ ὑπέβηττε μύχιόν τι καὶ ἐχρέμπτετο δυσπρόσοδον, ὠχρὸς ὅλος ὢν καὶ διῳδηκώς, ἀμφὶ τὰ ἑξήκοντα ἔτη σχεδόν· ἐλέγετο δὲ φιλόσοφός τις εἶναι τῶν πρὸς τὰ μειράκια φλυαρούντων. Ὁ γοῦν πώγων μάλα τραγικὸς ἦν, ἐς ὑπερβολὴν κουριῶν. Καὶ αἰτιωμένου γε Ἀρχι-

Le temps qui s'écoula jusqu'à celui du bain me parut un siècle entier : je ne détournais pas les yeux du cadran pour voir quelle heure il marquait, et à quel moment il faudrait se baigner. L'heure arrive enfin, je pars précipitamment, vêtu le mieux possible, ayant tourné mon manteau à l'envers, afin de ne montrer que le côté le plus propre. **10.** Je trouve à la porte d'Eucrate de nombreux conviés, et parmi eux, celui-là même que je devais remplacer : il arrivait en litière, porté par quatre hommes. On le disait malade, et, à dire vrai, tout l'annonçait assez. Il gémissait, il toussait du fond de sa poitrine et crachait de manière à se rendre inabordable ; sa pâleur était extrême ; il avait le corps enflé, avec cela soixante ans environ : on disait que c'était un de ces philosophes qui content des sornettes aux tout jeunes gens. On le voyait à sa barbe de bouc, qui avait bien besoin d'un coup de rasoir. Le médecin Archibios le querella

καὶ ἐτιθέμην αἰῶνα	et je comptais-pour un siècle
μήκιστον	très-long
τὸ ἄχρι τοῦ λουτροῦ,	le *temps* jusqu'au bain,
ἐπισκοπῶν συνεχὲς	regardant sans cesse
ὁποσάπουν	de combien-de-pieds
εἴη τὸ στοιχεῖον	était l'*ombre de* la tige de fer
καὶ πηνίκα δέοι ἤδη	et quand il faudrait déjà
λοῦσθαι.	se baigner.
Καὶ ἐπειδή ποτε	Et quand à la fin
ὁ καιρὸς ἀφίκετο, [τάχος	le moment fut-arrivé,
ἀπορρύψας ἐμαυτὸν πρὸς	m'étant nettoyé à la hâte
ἀπέρχομαι ἐσχηματισμένος	je pars après-m'être-habillé
μάλα κοσμίως,	tout-à-fait convenablement,
ἀναστρέψας τὸ τριϐώνιον	ayant retourné *mon* manteau
ὡς ἡ ἀναϐολὴ γένοιτο	afin que le vêtement fût
ἐπὶ τοῦ καθαρωτέρου.	du *côté* le plus propre.
10. Καταλαμϐάνω δὲ	**10.** Et je rencontre
πρὸς ταῖς θύραις	près des portes
ἄλλους τε πολλοὺς	d'autres *hommes* en-grand-nombre
καὶ δὴ κεκομισμένον	et aussi porté
φοράδην ὑπὸ τεττάρων	en litière par quatre *hommes*
ἐκεῖνον ᾧ ἔδει με	celui-là même qu'il me fallait
ὑποδειπνεῖν,	remplacer-au-dîner,
τὸν λεγόμενον νοσεῖν,	celui étant-dit être malade,
καὶ ἐδήλου δὲ	et il était évident d'autre part
ἔχων πονήρως·	étant mal-en-point ;
ὑπέστενε γοῦν	il gémissait du moins
καὶ ὑπέϐηττε μύχιόν τι	et il toussait d'une *toux* profonde,
καὶ ἐχρέμπτετο	et crachait
δυσπρόσοδον,	*de façon à être* inabordable,
ὢν ὅλος ὠχρὸς	étant entièrement pâle
καὶ διῳδηκώς,	et enflé,
ἀμφὶ τὰ ἑξήκοντα ἔτη	*étant* aux environs-des soixante ans
σχεδόν·	à peu près ;
ἐλέγετο δὲ εἶναι	et il était dit être
φιλόσοφός τις	un philosophe
τῶν φλυαρούντων	de-ceux disant-des-sornettes
πρὸς τὰ μειράκια.	aux tout-jeunes-gens.
Ὁ πώγων γοῦν	Sa barbe du moins
ἦν μάλα τραγικός,	était tout-à-fait de-bouc,
κουριῶν ἐς ὑπερϐολήν.	désirant-le-rasoir à-l'excès.
Καί γε Ἀρχιϐίου	Et même Archibios
τοῦ ἰατροῦ	le médecin

βίου τοῦ ἰατροῦ, διότι οὕτως ἔχων ἀφίκετο, « Τὰ καθήκοντα, » ἔφη, « οὐ χρὴ προδιδόναι καὶ ταῦτα φιλόσοφον ἄνδρα κἂν μυρίαι νόσοι ἐμποδὼν ἱστῶνται· ἡγήσεται γὰρ Εὐκράτης ὑπερεωρᾶσθαι πρὸς ἡμῶν. » — « Οὐ μὲν οὖν, » εἶπον ἐγώ, « ἀλλ᾽ ἐπαινέσεταί σε, ἢν οἴκοι παρὰ σαυτῷ μᾶλλον ἀποθανεῖν ἐθέλῃς ἤπερ ἐν τῷ συμποσίῳ συναναχρεμψάμενος τὴν ψυχὴν μετὰ τοῦ φλέγματος. » Ἐκεῖνος μὲν οὖν ὑπὸ μεγαλοφροσύνης οὐ προσεποιεῖτο ἀκηκοέναι τοῦ σκώμματος· ἐφίσταται δὲ μετὰ μικρὸν ὁ Εὐκράτης λελουμένος, καὶ ἰδὼν τὸν Θεσμόπολιν (τοῦτο γὰρ ὁ φιλόσοφος ἐκαλεῖτο)· « Διδάσκαλε, » φησίν, « εὖ μὲν ἐποίησας αὐτὸς ἥκων παρ᾽ ἡμᾶς, οὐ μεῖον δ᾽ ἄν τί σοι ἐγένετο καὶ ἀπόντι, ἅπαντα γὰρ ἑξῆς ἀπέσταλτο

d'être venu en cet état : « Il ne sied à personne, répondit-il, et encore moins à un philosophe de manquer à ses engagements, fût-il assiégé de dix mille maladies. Eucrate croirait qu'on le méprise. — Point du tout, lui dis-je, il vous aurait su meilleur gré de mourir chez vous que de venir à sa table cracher l'âme avec la bile. » Par fierté il fit semblant de n'avoir pas entendu ma plaisanterie. Peu de temps après, arrive Eucrate, qui sortait du bain. Dès qu'il aperçut Thesmopolis, c'était le nom du philosophe : « Maître, lui dit-il, que vous êtes charmant de venir nous voir ! Vous n'auriez pourtant rien perdu à rester chez vous, car je vous aurais envoyé de

αἰτιωμένου,	*lui* faisant-des-reproches,
διότι ἀφίκετο	de-ce-que il était-venu
ἔχων οὕτως,	étant ainsi,
« Οὐ χρή, ἔφη,	« Il ne faut pas, dit-il,
προδιδόναι τὰ καθήκοντα	trahir *ses* devoirs
καὶ ταῦτα	et cela
ἄνδρα φιλόσοφον,	*étant* homme philosophe,
καὶ ἂν μυρίαι νόσοι	même si dix-mille maladies
ἱστῶνται ἐμποδών·	se-tenaient devant-lui ;
Εὐκράτης γὰρ ἡγήσεται	car Eucrate pensera (penserait)
ὑπερεωρᾶσθαι	avoir été méprisé
πρὸς ἡμῶν. »	par nous. »
« Οὐ μὲν οὖν, »	« Pour cela, non, »
εἶπον ἐγώ,	dis-je,
« ἀλλὰ	« mais
ἐπαινέσεταί σε,	il te louera,
ἢν ἐθέλῃς μᾶλλον	si tu veux plutôt
ἀποθανεῖν οἴκοι	mourir à la maison
παρὰ σαυτῷ	chez toi-même
ἤπερ ἐν τῷ συμποσίῳ	que dans le festin,
συναναχρεμψάμενος	ayant-expectoré-en-même-temps
τὴν ψυχὴν	l'âme
μετὰ τοῦ φλέγματος. »	avec la bile. »
Ἐκεῖνος μὲν οὖν	Celui-là d'une-part,
ὑπὸ μεγαλοφροσύνης	à-cause-de *sa* fierté
προσεποιεῖτο	feignait
οὐ ἀκηκοέναι	de n'avoir pas entendu
τοῦ σκώμματος.	la plaisanterie.
Ὁ Εὐκράτης δὲ	Mais Eucrate
ἐφίσταται	survient
μετὰ μικρὸν	après peu de temps
λελουμένος	ayant-pris-un-bain
καὶ ἰδὼν τὸν Θεσμόπολιν	et ayant-vu Thesmopolis
(ὁ γὰρ φιλόσοφος	(car le philosophe
ἐκαλεῖτο τοῦτο)·	s'appelait de-ce-nom) :
« Διδάσκαλε, φησίν,	« Maître, dit-il,
εὖ μὲν ἐποίησας	en vérité tu as bien fait
ἥκων αὐτὸς παρὰ ἡμᾶς,	étant-venu toi-même chez nous ;
οὐ μεῖον δὲ ἄν τι ἐγένετό	mais rien n'eût été moindre
σοι καὶ ἀπόντι,	*pour* toi même absent,
ἅπαντα γὰρ ἂν ἀπέσταλτο	car tout *t*'aurait-été-envoyé
ἑξῆς. »	à la file. »

ἄν.» Καὶ ἅμα λέγων εἰσῄει χειραγωγῶν τὸν Θεσμόπολιν ἐπερειδόμενον καὶ τοῖς οἰκέταις. **11.** Ἐγὼ μὲν οὖν ἀπιέναι παρεσκευαζόμην, ὁ δὲ ἐπιστραφεὶς καὶ ἐπὶ πολὺ ἐνδοιάσας, ἐπεί με πάνυ σκυθρωπὸν εἶδε, «Πάριθι,» ἔφη, «καὶ σύ, ὦ Μίκυλλε, καὶ συνδείπνει μεθ᾽ ἡμῶν· τὸν υἱὸν γὰρ ἐγὼ κελεύσω ἐν τῇ γυναικωνίτιδι μετὰ τῆς μητρὸς ἑστιᾶσθαι, ὡς σὺ χώραν ἔχῃς.» Εἰσῄειν οὖν, μάτην λύκος χανὼν παρὰ μικρόν, αἰσχυνόμενος ὅτι ἐδόκουν ἐξεληλακέναι τοῦ συμποσίου τὸ παιδίον. Κἀπειδὴ κατακλίνεσθαι καιρὸς ἦν, πρῶτον μὲν ἀράμενοι ἀνέθεσαν τὸν Θεσμόπολιν οὐκ ἀπραγμόνως μὰ Δία, πέντε, οἶμαι, νεανίσκοι εὐμεγέθεις, ὑπαυχένια περιβύσαντες αὐτῷ πάντοθεν, ὡς διαμένοι ἐν τῷ σχήματι καὶ ἐπὶ πολὺ καρτερεῖν

tous les plats. » Tout en disant cela, il entre et prend par la main notre homme déjà soutenu de ses esclaves. **11.** Pour moi, je me disposais à m'en aller. Eucrate, se tournant de mon côté, balança un moment, puis me voyant un air triste : « Entre aussi, Micylle, tu souperas avec nous ; j'enverrai mon fils souper avec sa mère dans le gynécée pour te faire place. » J'entrai donc, ayant failli, comme le loup du proverbe, ouvrir la bouche pour rien, confus de ce que je paraissais avoir banni du festin le fils de la maison. Enfin arrive le moment de se mettre à table. D'abord cinq valets, oui, sur ma foi, cinq robustes valets enlèvent notre Thesmopolis, le placent sur son lit, ce qui n'était pas une entreprise fort aisée, je te jure, et le remparent de quantité d'oreillers, afin qu'il pût rester quelque temps dans la même position : ensuite, personne ne se ré-

Καὶ ἅμα λέγων	Et tout en parlant
εἰσῄει χειραγωγῶν	il entrait conduisant par la main
τὸν Θεσμόπολιν ἐπερειδό-	Thesmopolis soutenu
καὶ τοῖς οἰκέταις. [μενον	aussi par ses esclaves.
11. Ἐγὼ μὲν οὖν	**11.** Pour moi donc
παρεσκευαζόμην ἀπιέναι,	je-me-disposais à-m'en-aller,
ὁ δὲ ἐπιστραφεὶς	mais lui s'étant retourné
καὶ ἐνδοιάσας	et avant hésité
ἐπὶ πολύ,	pendant un long *temps*,
ἐπεὶ εἶδέ με	lorsqu'il vit moi
πάνυ σκυθρωπόν,	tout-à-fait triste :
« Πάριθι, ἔφη,	« Entre, dit-il,
καὶ σύ, ὦ Μίκυλλε	toi aussi, ô Micylle,
καὶ συνδείπνει μετὰ ἡμῶν·	et dîne avec nous ;
ἐγὼ γὰρ κελεύσω	car j'ordonnerai
τὸν υἱὸν ἑστιᾶσθαι	*mon* fils prendre-son-repas
ἐν τῇ γυναικωνίτιδι	dans le gynécée
μετὰ τῆς μητρός,	avec sa mère,
ὡς σὺ ἔχῃς χώραν. »	afin que tu aies de la place. »
Εἰσῄειν οὖν,	J'entrais donc,
λύκος	*pareil à* un loup
χανὼν μάτην	ayant-ouvert-la gueule en vain
παρὰ μικρόν,	à peu près,
αἰσχυνόμενος ὅτι ἐδόκουν	rougissant de-ce-que je semblais
ἐξεληλακέναι τοῦ συμπο-	avoir chassé du repas
τὸ παιδίον. [σίου	le jeune enfant.
Καὶ ἐπειδὴ καιρὸς ἦν	Et lorsque le moment était *venu*
κατακλίνεσθαι,	*de* se-mettre-à-table,
πρῶτον μὲν	tout d'abord
πέντε νεανίσκοι,	cinq jeunes-hommes,
οἶμαι,	à ce que je crois,
εὐμεγέθεις	de belle taille,
ἀράμενοι τὸν Θεσμόπολιν	ayant soulevé Thesmopolis
ἀνέθεσαν	le placèrent,
οὐκ ἀπραγμόνως μὰ Δία,	non facilement, par Zeus,
περιβύσαντες	ayant placé-comme-rempart-autour
αὐτῷ	de lui
ὑπαυχένια πάντοθεν,	des oreillers de tous côtés,
ὡς διαμένοι ἐν τῷ σχήματι	afin qu'il restât dans la position
καὶ δύναιτο καρτερεῖν	et qu'il pût avoir-de-la-force
ἐπὶ πολύ.	beaucoup.

δύναιτο. **Ε**ἶτα, μηδενὸς ἀνεχομένου πλησίον κατακεῖσθαι αὐτοῦ, ἐμὲ ὑποκατακλίνουσι φέροντες, ὡς ὁμοτράπεζοι εἴημεν. **Τ**οὐντεῦθεν ἐδειπνοῦμεν, ὦ Πυθαγόρα, πολύοψόν τι καὶ ποικίλον δεῖπνον ἐπὶ χρυσοῦ πολλοῦ καὶ ἀργύρου· καὶ ἐκπώματα ἦν χρυσᾶ καὶ διάκονοι ὡραῖοι καὶ μουσουργοὶ καὶ γελωτοποιοὶ μεταξύ, καὶ ὅλως ἡδίστη τις ἦν ἡ διατριβή· πλὴν ἀλλ᾽ ἐμὲ ἐλύπει οὐ μετρίως ὁ Θεσμόπολις ἐνοχλῶν καὶ ἀρετήν τινα πρός με διεξιὼν καὶ διδάσκων ὡς αἱ δύο ἀποφάσεις μίαν κατάφασιν ἀποτελοῦσι καὶ ὡς εἰ ἡμέρα ἐστί, νὺξ οὐκ ἔστιν· ἐνίοτε δὲ καὶ κέρατα ἔφασκεν εἶναί μοι [1]· **Τ**οιαῦτα πολλὰ οὐδὲν δεομένῳ προσφιλοσοφῶν συνεῖρε καὶ ὑπετέμνετο τὴν εὐφροσύνην οὐκ ἐῶν ἀκούειν τῶν κιθαριζόντων ἢ ᾀδόντων. **Τ**οιοῦτο

signant à l’avoir pour voisin, on me plaça de force à son côté, sur le même lit. Nous soupons donc, Pythagore ; le repas était abondant et varié ; vaisselle d’or et d’argent, coupes d’or, serviteurs bien faits, musiciens plaisants dans les intervalles, rien ne manquait à la fête. Cependant une chose m’importunait fort, c’est que Thesmopolis me faisait de très longues dissertations sur je ne sais quelle vertu, m’apprenait que deux négations valent une affirmation, que, quand il fait jour, il ne fait pas nuit ; il me prouvait aussi que j’avais des cornes, et me débitait à la suite mille autres plaisanteries philosophiques dont je me serais fort bien passé. Il m’arrachait ainsi au plaisir d’entendre les instruments et les voix ; voilà, coq, voilà mon

Εἶτα,	Ensuite,
μηδενὸς ἀνεχομένου [τοῦ,	personne ne supportant
κατακεῖσθαι πλησίον αὐ-	*de* se placer près de lui,
ὑποκατακλίνουσι ἐμὲ	ils me couchent-au-dessous (à une place in-
φέροντες,	me portant, [férieure)
ὡς εἴημεν	afin que nous fussions
ὁμοτράπεζοι.	voisins de table.
Τὸ ἐντεῦθεν ἐδειπνοῦμεν,	Alors nous mangions,
ὦ Πυθαγόρα, δεῖπνόν τι	ô Pythagore, un repas
πολύοψον καὶ ποικίλον	abondant et varié
ἐπὶ χρυσοῦ πολλοῦ	sur (dans) beaucoup d’or
καὶ ἀργύρου	et d’argent
καὶ ἦν	et il-y avait
ἐκπώματα χρυσᾶ	des coupes d’or
καὶ διάκονοι ὡραῖοι	et des serviteurs bien faits
καὶ μουσουργοὶ	et des musiciens
καὶ γελωτοποιοὶ μεταξύ,	et des plaisants pendant *le repas*,
καὶ ὅλως	et en-un-mot
ἡ διατριβὴ ἦν	le passe-temps était
ἡδίστη τις·	un *passe-temps* très-agréable ;
πλὴν ἀλλὰ	mais cependant
ὁ Θεσμόπολις	Thesmopolis
ἐλύπει ἐμὲ οὐ μετρίως	me chagrinait non modérément
ἐνοχλῶν	*me* fatiguant
καὶ διεξιὼν πρός με	et parlant longuement à moi
ἀρετήν τινα	d’une certaine vertu
καὶ διδάσκων ὡς	et *m’*apprenant que
αἱ δύο ἀποφάσεις ἀποτε-	les deux négations font
μίαν κατάφασιν [λοῦσι	une seule affirmation
καὶ ὡς εἰ ἡμέρα ἐστί,	et que s’*il* est jour,
νὺξ οὐκ ἔστιν·	*il* n’est pas nuit ;
ἐνίοτε δὲ καὶ ἔφασκε	et quelquefois aussi il répétait
κέρατα εἶναί μοι.	des cornes être à-moi.
Συνεῖρε	Il enchaînait
τοιαῦτα πολλὰ	beaucoup de choses semblables
προσφιλοσοφῶν	philosophant-avec *moi*
οὐδὲν δεομένῳ	n’*en* ayant-besoin en rien
καὶ ὑπετέμνετο	et il *me* coupait
τὴν εὐφροσύνην	le plaisir
οὐκ ἐῶν ἀκούειν	ne *me* permettant pas d’écouter
τῶν κιθαριζόντων	les *gens* jouant-de-la-cithare
ἢ ᾀδόντων.	ou chantant.
Τὸ μὲν δεῖπνον	Le repas d’une part

μέν σοι, ὦ ἀλεκτρυών, τὸ δεῖπνον. — **ΑΛΕΚ.** Οὐχ ἥδιστον, ὦ **Μ**ίκυλλε, καὶ μάλιστα ἐπεὶ συνεκληρώθης τῷ λήρῳ ἐκείνῳ γέροντι. **12.** — **ΜΙΚ.** Ἄκουε δὲ ἤδη καὶ τὸ ἐνύπνιον· ᾤμην γὰρ τὸν **Ε**ὐκράτην αὐτὸν ἄπαιδα ὄντα οὐκ οἶδ᾽ ὅπως ἀποθνῄσκειν, εἶτα προσκαλέσαντά με καὶ διαθήκας θέμενον, ἐν αἷς ὁ κληρονόμος ἦν ἁπάντων ἐγώ, μικρὸν ἐπισχόντα ἀποθανεῖν· ἐμαυτὸν δὲ παρελθόντα ἐς τὴν οὐσίαν τὸ μὲν χρυσίον καὶ τὸ ἀργύριον ἐξαντλεῖν σκάφαις τισὶ μεγάλαις ἀέναόν τε καὶ πολὺ ἐπιρρέον, τὰ δ᾽ ἄλλα, τὴν ἐσθῆτα καὶ τραπέζας καὶ ἐκπώματα καὶ διακόνους, πάντα ἐμὰ ὡς τὸ εἰκὸς εἶναι. **Ε**ἶτα ἐξήλαυνον ἐπὶ λευκοῦ ζεύγους, ἐξυπτιάζων, περίβλεπτος ἅπασι τοῖς ὁρῶσι καὶ ἐπίφθονος, καὶ προέθεον πολλοὶ

souper. — LE COQ. Il n'était pas très divertissant, Micylle, surtout à cause du voisinage de ce vieux radoteur. **12.** — MIC. Écoute à présent mon songe. Je rêvais qu'Eucrate lui-même était, je ne sais comment, sur le point de mourir sans enfants ; qu'alors il me faisait appeler, m'instituait par testament son légataire universel et, peu de temps après, mourait. J'entrais alors en possession de tous ses biens, et puisais dans de grands vases de l'or et de l'argent, qui tombaient sans cesse et coulaient à grands flots. Robes, tables, coupes, valets, tout m'appartenait, comme de raison. Puis un char attelé de chevaux blancs me promenait couché nonchalamment, objet de curiosité et d'envie pour tous les spectateurs. De nombreux coureurs

τοιοῦτό σοι	*fut* tel pour-toi (sache-le)
ὦ ἀλεκτρυών.	ô coq.
ΑΛΕΚ. Οὐχ ἥδιστον,	LE COQ. *Il* n'*était* pas très-agréable,
ὦ Μίκυλλε,	ô Micylle,
καὶ μάλιστα	et surtout
ἐπεὶ συνεκληρώθης	puisque tu fus-désigné-par-le-sort-avec
τῷ ἐκείνῳ γέροντι λήρῳ.	ce vieux bavard-là.
12. ΜΙΚ. Ἄκουε δὲ ἤδη	**12.** MIC. Écoute certes déjà
καὶ τὸ ἐνύπνιον·	aussi le songe :
ᾤμην γὰρ	je pensais en effet
τὸν Εὐκράτην αὐτὸν	Eucrate lui-même
ὄντα ἄπαιδα	étant sans enfant
οὐκ οἶδα ὅπως	je ne sais comment
ἀποθνῄσκειν,	être mourant,
εἶτα προσκαλέσαντά με	puis ayant appelé moi
καὶ θέμενον διαθήκας,	et ayant institué un testament
ἐν αἷς ἐγὼ ἦν	dans lequel moi j'étais
ὁ κληρονόμος ἁπάντων,	l'*unique* héritier de toutes *choses*,
ἐπισχόντα μικρὸν	ayant tardé un peu
ἀποθανεῖν·	être mort ;
ἐμαυτὸν δὲ	moi-même d'autre-part
παρελθόντα ἐς τὴν οὐσίαν	étant entré dans la fortune
ἐξαντλεῖν	puiser
μεγάλαις τισὶ σκάφαις	*avec* de grands vases
τὸ μὲν χρυσίον	d'un côté l'or
καὶ τὸ ἀργύριον	et l'argent
ἀέναόν τε	coulant-toujours
καὶ ἐπιρρέον πολύ,	et coulant en-abondance,
τὰ δὲ ἄλλα,	de l'autre côté le reste,
τὴν ἐσθῆτα	le vêtement
καὶ τραπέζας	et tables
καὶ ἐκπώματα	et coupes
καὶ διακόνους,	et valets,
πάντα εἶναι ἐμὰ	toutes *choses* être miennes
ὡς τὸ εἰκός.	comme la vraisemblance *est*.
Εἶτα ἐξήλαυνον	Puis je m'avançais
ἐπὶ ζεύγους λευκοῦ,	sur un *char à l'*attelage blanc,
ἐξυπτιάζων,	étendu-sur-le-dos,
περίβλεπτος	attirant-les-regards
καὶ ἐπίφθονος	et objet-d'-envie
ἅπασι τοῖς ὁρῶσι,	pour tous ceux *me* voyant,
καὶ πολλοὶ	et beaucoup *d'hommes*
προέθεον	couraient-en-avant

καὶ προΐππευον καὶ εἵποντο πλείους· ἐγὼ δὲ τὴν ἐσθῆτα τὴν ἐκείνου ἔχων καὶ δακτυλίους βαρεῖς ὅσον ἑκκαίδεκα ἐξημμένος τῶν δακτύλων ἐκέλευον ἑστίασίν τινα λαμπρὰν εὐτρεπισθῆναι ἐς ὑποδοχὴν τῶν φίλων· οἱ δέ, ὡς ἐν ὀνείρῳ εἰκός, ἤδη παρῆσαν καὶ τὸ δεῖπνον ἄρτι εἰσεκομίζετο καὶ ὁ πότος συνεκροτεῖτο. Ἐν τούτῳ ὄντα με καὶ φιλοτησίας προπίνοντα ἐν χρυσαῖς φιάλαις ἑκάστῳ τῶν παρόντων, ἤδη τοῦ πλακοῦντος ἐσκομιζομένου, ἀναβοήσας ἀκαίρως συνετάραξας μὲν ἡμῖν τὸ συμπόσιον, ἀνέτρεψας δὲ τὰς τραπέζας, τὸν δὲ πλοῦτον ἐκεῖνον ὑπηνέμιον φέρεσθαι παρεσκεύασας. Ἆρά σοι ἀλόγως ἀγανακτῆσαι κατὰ σοῦ δοκῶ; ὡς τριέσπερον ἂν ἡδέως ἐπεῖ-

et cavaliers me précédaient, un plus grand nombre encore me suivait. Pour moi, revêtu de la robe d'Eucrate, les doigts chargés de seize lourdes bagues, je faisais préparer un magnifique repas pour la réception de mes amis, et, comme il en doit être dans un songe, ils étaient déjà arrivés, déjà la table était servie, et l'on préparait les boissons. J'en étais là, je commençais à porter des santés dans ma coupe d'or, on apportait le dessert, lorsque, tes cris venant fort mal à propos m'éveiller, la fête a été troublée, les tables renversées, mes richesses emportées par le vent. De bonne foi, n'avais-je pas raison d'être furieux contre toi, moi qui aurais vu très volontiers ce

καὶ προΐππευον	et allaient-à-cheval-devant *moi*
καὶ πλείους	et un-plus-grand-nombre
εἵποντο·	*me* suivaient ;
ἐγὼ δὲ	moi d'autre-part
ἔχων	ayant
τὴν ἐσθῆτα τὴν ἐκείνου	le vêtement de celui-là (Eucrate)
καὶ ἐξημμένος	et ayant attaché
τῶν δακτύλων	à mes doigts
ὅσον ἑκκαίδεκα	environ seize
δακτυλίους βαρεῖς,	bagues lourdes,
ἐκέλευον	j'ordonnais
ἑστίασίν τινα λαμπρὰν	un festin somptueux
εὐτρεπισθῆναι	avoir été préparé
ἐς ὑποδοχὴν τῶν φίλων·	pour une réception de *mes* amis :
οἱ δέ,	et ceux-ci,
ὡς εἰκὸς ἐν ὀνείρῳ,	comme *il est* naturel en un songe,
παρῆσαν ἤδη	étaient-présents déjà
καὶ τὸ δεῖπνον	et le repas
εἰσεκομίζετο ἄρτι	était servi récemment
καὶ ὁ πότος	et la boisson
συνεκροτεῖτο.	était-préparée.
Ἀναβοήσας με	Ayant-appelé moi par-ton-cri
ὄντα ἐν τούτῳ	étant à ce *point*
καὶ προπίνοντα φιλοτησίας	et portant des santés
ἐν φιάλαις χρυσαῖς	dans des coupes d'or
ἑκάστῳ τῶν παρόντων,	à chacun des *convives* présents,
τοῦ πλακοῦντος	le gâteau
ἤδη ἐσκομιζομένου,	étant déjà apporté,
συνετάραξας μὲν ἡμῖν	tu as-troublé d'une part *pour* nous
ἀκαίρως	mal-à-propos
τὸ συμπόσιον,	le festin,
ἀνέτρεψας δὲ	tu as renversé d'autre-part
τὰς τραπέζας,	les tables,
παρεσκεύασας δὲ	et tu as-fait
τὸν πλοῦτον ἐκεῖνον	cette fortune-là
φέρεσθαι	être emportée
ὑπηνέμιον.	jouet-du-vent.
Ἆρα δοκῶ σοι	Est-ce que je parais à toi
ἀγανακτῆσαι ἀλόγως	*m'*être irrité sans-raison
κατὰ σοῦ;	contre toi ?
ἐπεῖδον ἂν ἡδέως	j'aurais vu avec plaisir
τριέσπερον	pendant-trois-soirées

δον τὸν ὄνειρόν μοι γενόμενον. **13.** — **ΑΛΕΚ.** Οὕτω φιλόχρυσος εἶ καὶ φιλόπλουτος, ὦ **Μίκυλλε**, καὶ μόνον τοῦτο ἐξ ἅπαντος θαυμάζεις καὶ ἡγῇ εὔδαιμον εἶναι, πολὺ κεκτῆσθαι χρυσίον ; — **ΜΙΚ.** Οὐκ ἐγὼ μόνος, ὦ Πυθαγόρα, τοῦτο· ἀλλὰ καὶ σὺ αὐτός, ὁπότε Εὔφορβος ἦσθα, χρυσὸν καὶ ἄργυρον τῶν βοστρύχων ἐξημμένος, οὕτως ᾔεις πολεμήσων τοῖς Ἀχαιοῖς, καὶ ἐν τῷ πολέμῳ, ἔνθα σιδηροφορεῖν μᾶλλον ἢ χρυσοφορεῖν ἄμεινον ἦν, σὺ δέ, καὶ τότε ἠξίους χρυσῷ ἀναδεδεμένος τοὺς πλοκάμους διαγωνίζεσθαι. Καί μοι δοκεῖ ὁ Ὅμηρος διὰ τοῦτο « Χαρίτεσσιν ὁμοίας » εἰπεῖν σου τὰς κόμας, ὅτι

...χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο [1].

songe pendant trois nuits entières ? **13.** — LE COQ. Quelle passion pour l'or et pour les richesses ! Quoi ! tu ne connais rien au monde de plus admirable ! selon toi le souverain bonheur consisterait à posséder beaucoup d'or ? — MIC. Je ne suis pas seul de cet avis, Pythagore ; toi-même, quand tu étais Euphorbe, et que tu marchais au combat contre les Grecs, ne nouais-tu pas les boucles de tes cheveux avec des fils d'or ou d'argent ? À la guerre, où le fer est plus utile que l'or, tu ne voulais pas affronter les dangers, sans que l'or brillât sur tes cheveux tressés avec art. Homère, selon moi, ne compare ta chevelure à celle des Grâces que parce que l'or et l'argent

τὸν ὄνειρον γενόμενόν μοι.	le songe ayant-eu-lieu pour moi.
13. ΑΛΕΚ. Ὦ Μίκυλλε,	**13.** LE COQ. Ô Micylle,
εἶ οὕτως φιλόχρυσος	es-tu à-ce-point ami-de-l'or,
καὶ φιλόπλουτος	et ami-de-la-richesse
καὶ θαυμάζεις	et admires-tu
καὶ ἡγῇ εἶναι εὔδαιμον	et penses-tu être chose heureuse
τοῦτο μόνον ἐξ ἅπαντος	ceci seulement parmi toute *chose*
κεκτῆσθαι	*à savoir* posséder
πολὺ χρυσίον ;	beaucoup d'or ?
ΜΙΚ. Ὦ Πυθαγόρα,	MIC. Ô Pythagore,
οὐκ ἐγὼ μόνος	je ne *fais* pas seul
τοῦτο·	cela ;
ἀλλὰ καὶ σὺ αὐτὸς	mais aussi toi même
ὁπότε ἦσθα Εὔφορβος,	lorsque tu étais Euphorbe,
ἐξημμένος	ayant attaché
τῶν βοστρύχων	à *tes* boucles-de-cheveux
χρυσὸν καὶ ἄργυρον,	de l'or et de l'argent,
ᾔεις οὕτως	tu marchais ainsi
πολεμήσων τοῖς Ἀχαιοῖς,	devant combattre les Grecs,
καὶ ἐν τῷ πολέμῳ,	et dans la guerre,
ἔνθα ἦν ἄμεινον	là-où il était (eût été) préférable
σιδηροφορεῖν	*de* porter-du-fer
μᾶλλον ἢ χρυσοφορεῖν,	plutôt que *de* porter-de-l'or,
σὺ δὲ	toi cependant
καὶ τότε	même alors
ἠξίους	tu jugeais-convenable
διαγωνίζεσθαι	de combattre
ἀναδεδεμένος	ayant-attaché
χρυσῷ	par de l'or
τοὺς πλοκάμους.	tes tresses.
Καὶ ὁ Ὅμηρος	Et Homère
δοκεῖ μοι διὰ τοῦτο	me semble pour cette *raison*
εἰπεῖν τὰς κόμας σοῦ	avoir dit les cheveux de-toi
« ὁμοίας Χαρίτεσσιν »	« *être* semblables aux Grâces »
ὅτι ἐσφήκωντο	parce-qu'ils étaient-serrés
χρυσῷ τε καὶ ἀργύρῳ.	par de l'or et de l'argent.

Μακρῷ γὰρ ἀμείνους δηλαδὴ καὶ ἐρασμιώτεραι ἐφαίνοντο συναναπεπλεγμέναι τῷ χρυσίῳ καὶ συναπολάμπουσαι μετ᾽ αὐτοῦ. Καίτοι τὰ μὲν σά, ὦ χρυσοκόμη, μέτρια, εἰ Πάνθου υἱὸς ὢν [1] ἐτίμας τὸ χρυσίον· ὁ δὲ πατὴρ ἁπάντων ἀνδρῶν καὶ θεῶν, ὁ Κρόνου καὶ Ῥέας, ὁπότε ἠράσθη τῆς Ἀργολικῆς ἐκείνης μείρακος [2], οὐκ ἔχων ἐς ὅ τι ἐρασμιώτερον αὑτὸν μεταβάλοι, οὐδὲ ὅπως ἂν διαφθείρειε τοῦ Ἀκρισίου τὴν φρουράν — ἀκούεις δήπου ὡς χρυσίον ἐγένετο καὶ ῥυεὶς διὰ τοῦ τέγους συνῆν τῇ ἀγαπωμένῃ. Ὥστε τί ἂν σοι τὸ ἐπὶ τούτῳ ἔτι λέγοιμι, ὅσας μὲν χρείας παρέχεται ὁ χρυσός, ὡς δὲ οἷς ἂν παρῇ, καλούς τε αὐτοὺς καὶ σοφοὺς καὶ ἰσχυροὺς ἀπεργάζεται τιμὴν καὶ δόξαν προσάπτων, καὶ ἐξ ἀφανῶν καὶ ἀδόξων

en formaient les liens, car assurément elle paraissait bien plus belle et bien plus brillante, entrelacée de ce précieux métal et resplendissant de son éclat. Mais après tout, il t'était bien permis à toi, qui n'étais que le fils de Panthoös, de tant priser l'or. En effet, le père des dieux et des hommes, le fils de Kronos et de Rhéa, étant amoureux d'une jeune fille d'Argos, et ne sachant en quoi se transformer pour lui plaire, ni comment séduire les gardes d'Akrise, se change en or, et se coule à travers le toit pour jouir de son amante. Que te dirai-je de plus ? Te montrerai-je tous les avantages de l'or ? Te dirai-je qu'il élève au comble des honneurs et de la gloire, qu'il rend beaux, sages et puissants ceux qui le possèdent, qu'il change tout

Ἐφαίνοντο γὰρ	Ils paraissaient en-effet
μακρῷ ἀμείνους	beaucoup plus-beaux
δηλαδὴ	apparemment
καὶ ἐρασμιώτεραι	et plus-aimables
συναναπεπλεγμέναι	ayant-été-tordus-avec
τῷ χρυσίῳ	l'or
καὶ συναπολάμπουσαι	et brillant
μετὰ αὐτοῦ.	avec lui.
Καίτοι τὰ μὲν σὰ	Cependant les *penchants* de toi
μέτρια,	*sont* modérés,
ὦ χρυσοκόμη,	ô chevelure d'or,
εἰ ὢν υἱὸς Πάνθου	si (puisque) *n'*étant *que* le fils de Panthoös
ἐτίμας τὸ χρυσίον·	tu estimais l'or ;
ὁ δὲ πατὴρ	et le père
ἁπάντων ἀνδρῶν καὶ θεῶν,	de tous les hommes et dieux,
ὁ Κρόνου καὶ Ῥέας,	le *fils* de Kronos et Rhéa,
ὁπότε ἠράσθη	lorsqu'il s'éprit
ἐκείνης τῆς	de cette fameuse
μείρακος Ἀργολικῆς,	jeune-fille d'Argos,
οὐκ ἔχων	ne sachant pas
ἐς ὅ τι ἐρασμιώτερον	en quoi plus-aimable
μεταβάλοι αὑτόν	il transformerait lui-même
οὐδὲ ὅπως ἂν διαφθείρειε	ni *sachant* comment il corromprait
τὴν φρουρὰν τοῦ Ἀκρισίου	le garde d'Akrisios
— ἀκούεις δήπου	— tu entends (as entendu parler) sans-doute
ὡς ἐγένετο χρυσίον	comment il est devenu objet-d'or
καὶ ῥυεὶς	et étant-coulé
διὰ τοῦ τέγους	à travers le toit
συνῆν τῇ ἀγαπωμένῃ.	il s'unissait à sa bien-aimée.
Ὥστε τί ἂν λέγοιμί σοι	Par conséquent que dirais-je à toi
τὸ ἐπὶ τούτῳ	ce *qui est* en-sus de cela
ὅσας μὲν χρείας	*à savoir* quelles-grandes utilités d'un côté
ὁ χρυσὸς παρέχεται,	l'or fournit,
ὡς δὲ	comme d'autre part
οἷς ἂν παρῇ,	ceux auprès de qui il est,
ἀπεργάζεται αὐτοὺς	il les fait (rend)
καλούς τε	et beaux
καὶ σοφοὺς καὶ ἰσχυροὺς	et sages et forts
προσάπτων τιμὴν	*leur* attachant de l'honneur
καὶ δόξαν	et de la gloire
καὶ ἐνίοτε	et quelquefois

ἐνίοτε περιβλέπτους καὶ ἀοιδίμους ἐν βραχεῖ τίθησι; **14.** Τὸν γείτονα γοῦν μοι, τὸν ὁμότεχνον οἶσθα, τὸν Σίμωνα, οὐ πρὸ πολλοῦ δειπνήσαντα παρ᾽ ἐμοί, ὅτε τὸ ἔτνος ἥψησα τοῖς Κρονίοις δύο τεμάχη τοῦ ἀλλᾶντος ἐμβαλών; — ΑΛΕΚ. Οἶδα· τὸν σιμόν, τὸν βραχύν, ὃς τὸ κεραμεοῦν τρύβλιον ὑφελόμενος ᾤχετο ὑπὸ μάλης ἔχων μετὰ τὸ δεῖπνον, ὃ μόνον ἡμῖν ὑπῆρχεν· εἶδον γὰρ αὐτός, ὦ Μίκυλλε. — ΜΙΚ. Οὐκοῦν ἐκεῖνος αὐτὸ κλέψας εἶτα ἐπωμόσατο θεοὺς τοσούτους; Ἀλλὰ τί οὐκ ἐβόας καὶ ἐμήνυες τότε, ὦ ἀλεκτρυών, ληζομένους ἡμᾶς ὁρῶν; — ΑΛΕΚ. Ἐκόκκυζον, ὃ μόνον μοι τότε δυνατὸν ἦν. Τί δ᾽ οὖν

à coup des hommes vils et obscurs en des personnages importants et célèbres ? **14.** Tiens, tu connais mon voisin le confrère Simon, qui soupa chez moi aux dernières Saturnales quand je fis cuire un plat de purée avec deux morceaux de ma saucisse. — LE COQ. Si je le connais, ce petit bout d'homme, ce camus qui nous prit notre écuelle de terre, la seule que nous possédions, et s'en alla après le dîner, la cachant sous son aisselle ! Je l'ai vu de mes yeux, Micylle. — MIC. Ainsi, après nous avoir volés, il a osé encore prendre tous les dieux à témoin de son innocence ? Mais puisque tu le voyais nous dépouiller ainsi, pourquoi ne m'as-tu pas averti en criant ? — LE COQ. Je criais comme un coq, et c'est tout ce que je pouvais faire alors. Mais que t'a donc fait ce Simon ? Tu avais, je crois,

ἐξ ἀφανῶν καὶ ἀδόξων	de vils et obscurs
τίθησι	il *les* rend
ἐν βραχεῖ	en peu *de temps*
περιβλέπτους	célèbres
καὶ ἀοιδίμους;	et dignes d'être chantés ?
14. Οἶσθα γοῦν	**14.** Tu connais au moins
τὸν γείτονά μοι	le voisin à-moi
τὸν ὁμότεχνον,	qui-est-du-même-métier *que moi,*
τὸν Σίμωνα,	Simon,
δειπνήσαντα παρὰ ἐμοὶ	*celui* ayant-soupé chez moi
οὐ πρὸ πολλοῦ,	*il n'y a* pas longtemps,
ὅτε ἥψησα	lorsque j'ai fait-cuire
τὸ ἔτνος	la bouillie
τοῖς Κρονίοις,	aux fêtes de Kronos,
ἐμβαλὼν	ayant-jeté-dedans
δύο τεμάχη	deux morceaux
τοῦ ἀλλᾶντος;	de ma saucisse ?
ΑΛΕΚ. Οἶδα·	LE COQ. Je *le* connais :
τὸν σιμόν,	*tu dis* le camus,
τὸν βραχύν,	le court,
ὃς ᾤχετο	qui s'en allait,
ὑφελόμενος	ayant-dérobé
μετὰ τὸ δεῖπνον	après le dîner
ἔχων ὑπὸ μάλης	et ayant sous l'aisselle
τὸ τρύβλιον κεραμεοῦν	l'écuelle de-terre
ὃ ὑπῆρχεν ἡμῖν μόνον·	qui était à nous seule :
εἶδον γὰρ αὐτός,	je l'ai vu en effet moi-même,
ὦ Μίκυλλε.	ô Micylle.
ΜΙΚ. Οὐκοῦν ἐκεῖνος	MIC. Donc celui-là
κλέψας αὐτὸ	ayant-volé elle (l'écuelle)
εἶτα	ensuite
ἐπωμόσατο	prit-à-témoin
τοσούτους θεούς;	tant de dieux ?
Ἀλλὰ τί	Mais pourquoi
οὐκ ἐβόας	ne criais-tu pas
καὶ ἐμήνυες τότε,	et ne *le* dénonçais-tu alors,
ὦ ἀλεκτρυών,	ô coq,
ὁρῶν	voyant
ληζομένους ἡμᾶς;	*lui* pillant nous ?
ΑΛΕΚ. Ἐκόκκυζον,	LE COQ. Je criais-comme-un-coq,
ὃ μόνον	ce qui seul
ἦν δυνατόν μοι τότε.	était possible à moi alors.

ὁ **Σίμων**; ἐῴκεις γάρ τι περὶ αὐτοῦ ἐρεῖν. — **ΜΙΚ.** Ἀνεψιὸς ἦν αὐτῷ πλούσιος ἐς ὑπερβολήν, Δριμύλος τοὔνομα. Οὗτος ζῶν μὲν οὐδὲ ὀβολὸν ἔδωκε τῷ **Σίμωνι**· πῶς γάρ, ὃς οὐδὲ αὐτὸς ἥπτετο τῶν χρημάτων; ἐπεὶ δὲ ἀπέθανε πρῴην, ἅπαντα ἐκεῖνα κατὰ τοὺς νόμους **Σίμωνός** ἐστι, καὶ νῦν ἐκεῖνος ὁ τὰ ῥάκια τὰ πιναρά, ὁ τὸ τρύβλιον περιλείχων ἄσμενος, ἐξελαύνει ἁλουργῆ καὶ ὑσγινοβαφῆ ἀμπεχόμενος, οἰκέτας καὶ ζεύγη καὶ χρυσᾶ ἐκπώματα καὶ ἐλεφαντόποδας τραπέζας ἔχων, ὑφ᾽ ἁπάντων προσκυνούμενος οὐδὲ προσβλέπων ἔτι ἡμᾶς· ἔναγχος γοῦν ἐγὼ μὲν ἰδὼν προϊόντα, « Χαῖρε, » ἔφην, « ὦ **Σίμων** »· ὁ δὲ ἀγανακτήσας, « Εἴπατε, » ἔφη, « τῷ πτωχῷ τούτῳ

quelque historiette sur son compte. — MIC. Ce Simon avait un cousin riche à l'excès, nommé Drimyle, qui de son vivant ne lui donnait pas une obole ; et comment l'eût-il fait ? lui-même ne touchait pas à son argent. Il vient de mourir enfin, ce cousin, et Simon se trouve, en vertu des lois, son seul héritier. Et maintenant ce maraud aux haillons crasseux, qui était trop heureux de lécher les écuelles, se promène avec des habits de pourpre, des esclaves, des équipages ; il a des vases d'or, des tables à pieds d'ivoire ; enfin, adoré de tout le monde, il ne daigne plus me regarder. Dernièrement je le vis passer : « Eh ! bonjour, Simon. — Allez dire à ce gueux de ne pas

Τί δὴ οὖν ὁ Σίμων ;	Mais quoi donc Simon *a-t-il fait ?*
ἐῴκεις γὰρ	tu semblais en effet
ἐρεῖν τι	devoir-dire quelque chose
περὶ αὐτοῦ.	sur lui.
ΜΙΚ. Ἀνεψιὸς ἦν αὐτῷ	MIC. Un cousin était à lui
πλούσιος ἐς ὑπερβολήν,	riche à l'excès,
Δριμύλος τὸ ὄνομα.	Drimyle *quant* au nom.
Οὗτος ζῶν μὲν	Celui-ci vivant d'une-part
ἔδωκε	*ne* donna
οὐδὲ ὀβολὸν τῷ Σίμωνι·	pas même une obole à Simon ;
πῶς γάρ,	comment, en effet, *l'eût-il-fait,*
ὃς οὐδὲ αὐτὸς	*lui* qui pas-même lui-même
ἥπτετο	*ne* touchait
τῶν χρημάτων ;	à ses richesses ?
ἐπεὶ δὲ	comme d'autre-part
ἀπέθανε πρῴην,	il est-mort naguère,
ἅπαντα ἐκεῖνα	tous ces *biens*-là
Σίμωνός ἐστι	sont à Simon
κατὰ τοὺς νόμους,	d'après les lois,
καὶ νῦν ἐκεῖνος	et maintenant celui-là
ὁ τὰ ῥάκια τὰ πιναρά,	celui *ayant* les haillons crasseux,
ὁ περιλείχων τὸ τρύβλιον	celui léchant l'écuelle
ἄσμενος,	content,
ἐξελαύνει	est-porté-dehors (sort en voiture)
ἀμπεχόμενος ἁλουργῆ	vêtu d'*habits* de-pourpre
καὶ ὑσγινοβαφῆ,	et teints-en-violet,
ἔχων οἰκέτας	ayant des serviteurs
καὶ ζεύγη	et des attelages
καὶ ἐκπώματα χρυσᾶ	et des coupes d'or
καὶ τραπέζας	et des tables
ἐλεφαντόποδας, [των	à pied d'ivoire,
προσκυνούμενος ὑπὸ ἁπάν-	salué-jusqu'à-terre par tous
οὐδὲ προσβλέπων ἔτι ἡμᾶς·	et ne nous regardant plus ;
ἔναγχος γοῦν	récemment du-moins
ἐγὼ μὲν ἔφην	moi d'un-côté je *lui* disais
ἰδὼν προϊόντα,	*le* voyant s'avancer :
« Χαῖρε, ὦ Σίμων »·	« Bonjour, ô Simon, »
ὁ δὲ ἀγανακτήσας	lui d'autre-part s'étant-indigné
ἔφη,	répondit :
« Εἴπατε τῷ πτωχῷ τού- [τῳ	« Dites à ce gueux

μὴ κατασμικρύνειν μου τοὔνομα· οὐ γὰρ Σίμων, ἀλλὰ Σιμωνίδης ὀνομάζομαι.» Τὸ δὲ μέγιστον, ἤδη καὶ ἐρῶσιν αὐτοῦ αἱ γυναῖκες, ὁ δὲ θρύπτεται πρὸς αὐτὰς καὶ ὑπερορᾷ, καὶ τὰς μὲν προσίεται καὶ ἵλεώς ἐστιν, αἱ δὲ ἀπειλοῦσιν ἀναρτήσειν ἑαυτὰς ἀμελούμεναι. Ὁρᾷς ὅσων ἀγαθῶν ὁ χρυσὸς αἴτιος, εἴ γε καὶ μεταποιεῖ τοὺς ἀμόρφους καὶ ἐρασμίους ἀπεργάζεται ὥσπερ ὁ ποιητικὸς ἐκεῖνος κεστός [1]. Ἀκούεις δὲ καὶ τῶν ποιητῶν λεγόντων·

ὦ χρυσέ, δεξίωμα κάλλιστον…

καὶ

χρυσὸς γάρ ἐστιν ὃς βροτῶν ἔχει κράτη [2].

Ἀλλὰ τί μεταξὺ ἐγέλασας, ὦ ἀλεκτρυών; **15.** — ΑΛΕΚ. Ὅτι ὑπ᾽ ἀγνοίας, ὦ Μίκυλλε, καὶ σὺ τὰ ὅμοια τοῖς πολλοῖς ἐξηπάτησαι περὶ τῶν πλουσίων· οἱ δ᾽, εὖ ἴσθι, πολὺ ὑμῶν

raccourcir mon nom, je ne m'appelle pas Simon, mais Simonide. » Ce qu'il y a de plus fort, c'est qu'il est la coqueluche de toutes les femmes, et qu'il les regarde avec dédain, du haut de sa grandeur : il en est parfois dont il consent à être aimé ; d'autres, qu'il néglige, ne parlent rien moins que de se pendre. Tu vois par là tout ce que peut l'or, puisque, semblable à cette ceinture si vantée dans la poésie, il transforme les plus laids en des hommes beaux et aimables. Aussi entend-on les poètes s'écrier :

Ô bienheureux métal en miracles fertile,

Et encore :

L'or règne en souverain sur le cœur des mortels.

Mais qu'avais-tu donc à rire, mon coq, pendant que je te parlais ? **15.** — LE COQ. C'est, Micylle, de voir que ton ignorance te fait tomber dans la même erreur que le vulgaire sur le compte des riches. Sache bien, au contraire, que leur vie est beaucoup plus

μὴ κατασμικρύνειν	*de* ne pas rapetisser
τὸ ὄνομά μου·	le nom de moi ;
ὀνομάζομαι γὰρ	car je me nomme
οὐ Σίμων,	non Simon,
ἀλλὰ Σιμωνίδης. »	mais Simonide. »
Τὸ δὲ μέγιστον,	Mais le plus grave *est que*
αἱ γυναῖκες	les femmes
ἤδη καὶ ἐρῶσιν αὐτοῦ,	maintenant même sont amoureuses de lui,
ὁ δὲ θρύπτεται	et lui, il se-donne-des-airs
πρὸς αὐτὰς	envers elles
καὶ ὑπερορᾷ,	et *les* regarde-avec-dédain,
καὶ τὰς μὲν	et quelques-unes d'une part
προσίεται	il *les* laisse-approcher
καὶ ἵλεώς ἐστιν,	et *leur* est aimable,
αἱ δὲ	et d'autres
ἀπειλοῦσιν ἑαυτὰς ἀναρτή-	menacent de se pendre
ἀμελούμεναι. [σειν	*parce qu'*elles sont négligées.
Ὁρᾷς ὅσων ἀγαθῶν	Tu vois de quels-grands biens
ὁ χρυσὸς αἴτιος,	l'or *est* cause,
εἴ γε μεταποιεῖ καὶ	si du moins *il* refait aussi
τοὺς ἀμόρφους	les laids
καὶ ἀπεργάζεται	et *les* rend
ἐρασμίους	aimables
ὥσπερ ὁ ἐκεῖνος κεστὸς	comme *fait* la fameuse ceinture
ποιητικός. [τῶν	dans-la-poésie.
Ἀκούεις δὲ καὶ τῶν ποιη-	Et tu entends aussi les poètes
λεγόντων· « ὦ χρυσέ,	disant : « ô or,
δεξίωμα κάλλιστον »	objet-de-désir le-plus-beau »
καὶ « χρυσὸς γάρ ἐστιν	et « l'or est en effet
ὃς ἔχει	celui-qui possède
κράτη βροτῶν. »	le droit-de-commander aux mortels. »
Ἀλλὰ τί ἐγέλασας	Mais pourquoi as-tu ri
μεταξύ,	dans l'intervalle,
ὦ ἀλεκτρυών ;	ô coq ?
15. ΑΛΕΚ. Ὅτι	**15.** LE COQ. Parce-que
ὑπὸ ἀγνοίας	par ignorance
καὶ σύ, ὦ Μίκυλλε,	toi aussi, Micylle,
ἐξηπάτησαι	tu t'es trompé
περὶ τῶν πλουσίων	au sujet des riches
τὰ ὅμοια	d'une manière pareille
τοῖς πολλοῖς·	à la plupart (des hommes) ;
οἱ δέ, εὖ ἴσθι,	ceux-ci, sache-*le* bien,
βιοῦσι τὸν βίον	vivent la vie

ἀθλιώτερον τὸν βίον βιοῦσι· λέγω δέ σοι καὶ πένης καὶ πλούσιος πολλάκις γενόμενος καὶ παντὸς βίου πεπειραμένος· μετὰ μικρὸν δὲ καὶ αὐτὸς εἴσῃ ἕκαστα. — **ΜΙΚ.** Νὴ Δία, καιρὸς γοῦν ἤδη καὶ σὲ εἰπεῖν ὅπως ἠλλάγης καὶ ἃ σύνοισθα τῷ βίῳ ἑκάστῳ. — **ΑΛΕΚ.** Ἄκουε, τοσοῦτόν γε προειδώς, μηδένα με σοῦ εὐδαιμονέστερον βιοῦντα ἑορακέναι. — **ΜΙΚ.** Ἐμοῦ, ὦ ἀλεκτρυών ; οὕτω σοὶ γένοιτο· προάγῃ γάρ με λοιδορεῖσθαί σοι. Ἀλλ᾽ εἰπέ, ἀπὸ τοῦ Εὐφόρβου ἀρξάμενος, ὅπως ἐς Πυθαγόραν μετεβλήθης, εἶτα τὰ ἑξῆς ἄχρι τοῦ ἀλεκτρυόνος· εἰκὸς γάρ σε ποικίλα καὶ ἰδεῖν καὶ παθεῖν ἐν πολυειδέσι τοῖς

misérable que la vôtre. Je te parle par expérience, ayant été tour à tour pauvre et riche, ayant essayé enfin de toutes les conditions. Tu ne tarderas pas toi aussi à en être convaincu. – MIC. Par Zeus, voilà donc une belle occasion de m'instruire de tes métamorphoses et de ce que tu sais sur chaque genre de vie. – LE COQ. Écoute, mais sache du moins auparavant que je n'ai jamais vu un vivant plus heureux que toi. – MIC. Que moi, mon coq ! Je t'en souhaite autant, car tu me provoques à te vouloir du mal. Cependant dis-moi comment d'Euphorbe tu as été transformé en Pythagore, puis ce que tu as été, jusqu'à ce que tu sois devenu coq, car tu dois avoir éprouvé bien des impressions diverses dans des

πολὺ ἀθλιώτερον	beaucoup plus misérable
ὑμῶν·	que vous ;
λέγω δέ σοι	et je parle à toi
γενόμενος πολλάκις	ayant été souvent
καὶ πένης καὶ πλούσιος	et pauvre et riche
καὶ πεπειραμένος	et ayant fait-l'épreuve
παντὸς βίου·	de tout genre de vie ;
μετὰ μικρὸν δὲ	et après peu *de temps*
καὶ αὐτὸς	*toi*-même aussi
εἴσῃ ἕκαστα.	tu sauras chaque *chose.*
ΜΙΚ. Νὴ Δία,	MIC. Par Zeus,
καιρὸς γοῦν ἤδη	*il est* temps du-moins déjà
καὶ σὲ εἰπεῖν	toi aussi dire
ὅπως ἠλλάγης	comment tu as été métamorphosé
καὶ ἃ σύνοισθα	et les *choses* que tu sais
τῷ βίῳ ἑκάστῳ.	*de* chaque *genre de* vie.
ΑΛΕΚ. Ἄκουε,	LE COQ. Écoute,
προειδὼς	sachant-auparavant
τοσοῦτόν γε,	autant du moins,
μὲ ἑορακέναι	moi avoir vu
μηδένα βιοῦντα	aucun *homme* vivant
εὐδαιμονέστερον σοῦ.	plus heureux que toi.
ΜΙΚ. Ἐμοῦ,	MIC. *Que* moi,
ὦ ἀλεκτρυών ;	ô coq ?
γένοιτό σοι οὕτω·	puisse-t-il *en* être ainsi pour toi :
προάγῃ γάρ με	car tu amènes moi
λοιδορεῖσθαί σοι.	à injurier toi.
Ἀλλὰ εἰπέ,	Mais dis-moi,
ἀρξάμενος	ayant débuté
ἀπὸ τοῦ Εὐφόρβου,	à-partir d'Euphorbe,
ὅπως μετεβλήθης	comment tu as été transformé
ἐς Πυθαγόραν,	en Pythagore,
εἶτα τὰ ἑξῆς	puis ce qui suit
ἄχρι τοῦ ἀλεκτρυόνος·	jusqu'au coq ;
εἰκὸς γάρ σε	car *il est* naturel toi
καὶ ἰδεῖν	et avoir-vu
καὶ παθεῖν	et avoir-éprouvé
ποικίλα	des *choses* variées
ἐν τοῖς βίοις	dans des vies
πολυειδέσι.	de-différentes-sortes.

βίοις. **16.** — **ΑΛΕΚ.** Ὡς μὲν ἐξ Ἀπόλλωνος τὸ πρῶτον ἡ ψυχή μοι καταπταμένη ἐς τὴν γῆν ἐνέδυ εἰς ἀνθρώπου σῶμα ἥντινα τὴν καταδίκην ἐκτίνουσα, μακρὸν ἂν εἴη λέγειν· ἄλλως τε οὐδ᾽ ὅσιον οὔτ᾽ ἐμοὶ εἰπεῖν οὔτε σοὶ ἀκούειν τὰ τοιαῦτα. Ἐπεὶ δὲ Εὔφορβος ἐγενόμην… — **ΜΙΚ.** Τοῦτό μοι πρότερον εἰπέ, εἰ κἀγώ ποτε ἠλλάγην ὥσπερ σύ. — **ΑΛΕΚ.** Καὶ μάλα. — **ΜΙΚ.** Τίς οὖν ἦν πρό γε τούτου, ὦ θαυμάσιε, τίς ἦν; εἴ τι ἔχεις, εἰπέ· ἐθέλω γὰρ τοῦτο εἰδέναι. — **ΑΛΕΚ.** Σύ ; μύρμηξ Ἰνδικὸς τῶν τὸ χρυσίον ἀνορυττόντων [1]. — **ΜΙΚ.** Εἶτα ὤκνουν ὁ κακοδαίμων κἂν ὀλίγα τῶν ψηγμάτων ἥκειν ἐς τόνδε τὸν βίον

conditions si variées. **16.** — LE COQ. Comment mon âme s’envola du corps d’Apollon pour venir sur la terre revêtir le corps d’un mortel, et par suite de quelle expiation, ce serait une longue histoire à conter. D’ailleurs il n’est permis ni à moi de révéler ni à toi d’entendre de tels mystères. Lors donc que je fus devenu Euphorbe… — MIC. Commence par me dire d’abord, si moi aussi j’ai jadis subi des métamorphoses, comme toi. — LE COQ. Certainement. — MIC. Dis-moi donc qui j’étais avant d’être Micylle, si tu en as connaissance, car je veux le savoir. — LE COQ. Toi ? tu étais une de ces fourmis indiennes qui déterrent l’or. — MIC. Eh quoi ! j’ai hésité, malheureux, à mettre en réserve quelques-unes de ces parcelles pour venir de cette vie-là dans celle-ci ? Mais dis-moi éga-

16. ΑΛΕΚ. Λέγειν	**16.** LE COQ. Dire
ὡς μὲν τὸ πρῶτον	comment d’une-part d’abord
ἡ ψυχή μοι	l’âme à (de) moi
καταπταμένη	étant-descendue-en-volant
ἐξ Ἀπόλλωνος	d’Apollon
ἐς τὴν γῆν	vers la terre
ἐνέδυ	se-glissa
εἰς σῶμα ἀνθρώπου	dans un corps d’homme
ἐκτίνουσα	purgeant
ἥντινα καταδίκην	quelle condamnation
ἂν εἴη μακρόν·	serait long ;
ἄλλως τε	d’ailleurs
οὐδὲ ὅσιον	*il* n’*est* pas même permis
οὔτε ἐμοὶ εἰπεῖν	ni à moi de dire
οὔτε σοὶ ἀκούειν	ni à toi d’entendre
τὰ τοιαῦτα.	les *choses* telles.
Ἐπεὶ δὲ ἐγενόμην	Lors donc que je fus-devenu
Εὔφορβος…	Euphorbe…
ΜΙΚ. Πρότερον	MIC. Auparavant
εἰπέ μοι τοῦτο,	dis à moi ceci,
εἰ καὶ ἐγὼ	si moi aussi
ἠλλάγην	j’ai été transformé
ὥσπερ σύ.	comme toi.
ΑΛΕΚ. Καὶ μάλα.	LE COQ. *Oui,* même beaucoup.
ΜΙΚ. Τίς οὖν ἦν	MIC. Qui donc étais-je
πρό γε τούτου,	avant celui-ci du moins,
ὦ θαυμάσιε,	ô *coq* admirable,
τίς ἦν;	qui étais-je ?
εἰ ἔχεις τι,	si tu as (sais) quelque-chose,
εἰπέ·	dis-*le ;*
ἐθέλω γὰρ	car je veux
εἰδέναι τοῦτο.	savoir cela.
ΑΛΕΚ. Σύ;	LE COQ. Toi ?
μύρμηξ Ἰνδικὸς	une fourmi indienne
τῶν ἀνορυττόντων	de celles déterrant
τὸ χρυσίον.	l’or.
ΜΙΚ. Εἶτα ὤκνουν	MIC. Après-cela j’hésitais
ὁ κακοδαίμων	*moi* l’infortuné
ἥκειν ἐς τόνδε τὸν βίον,	à venir dans cette vie,
ἐξ ἐκείνου	en *sortant* de celle-là
ἐπισιτισάμενος	ayant fait-provision

ἐξ ἐκείνου ἐπισιτισάμενος; Ἀλλὰ καὶ τί μετὰ τοῦτο ἔσομαι, εἰπέ· εἰκὸς δὲ εἰδέναι σε. Εἰ γάρ τι ἀγαθὸν εἴη, ἀπάγξομαι ἤδη ἀναστὰς ἀπὸ τοῦ παττάλου ἐφ᾽ οὗ σὺ ἕστηκας. 17. — ΑΛΕΚ. Οὐκ ἂν μάθοις τοῦτο οὐδεμιᾷ μηχανῇ. Πλὴν ἀλλὰ ἐπείπερ Εὔφορβος ἐγενόμην (ἐπάνειμι γὰρ ἐπ᾽ ἐκεῖνα) ἐμαχόμην ἐπ᾽ Ἰλίῳ καὶ ἀποθανὼν ὑπὸ Μενέλεω χρόνῳ ὕστερον ἐς Πυθαγόραν ἧκον. Τέως δὲ περιέμενον ἄοικος καὶ ἀνέστιος ἄχρι ἂν ὁ Μνήσαρχος ἐξεργάσηταί μοι τὸν οἶκον. — ΜΙΚ. Ἄσιτος, ὦ τᾶν, καὶ ἄποτος; — ΑΛΕΚ. Καὶ μάλα· οὐδὲ γὰρ ἔδει τούτων ἢ μόνῳ τῷ σώματι. — ΜΙΚ. Οὐκοῦν τὰ ἐν Ἰλίῳ μοι πρῶτον εἰπέ. Τοιαῦτα ἦν οἷά φησιν Ὅμηρος γενέσθαι αὐτά; — ΑΛΕΚ. Πόθεν ἂν ἐκεῖνος ἠπίστατο, ὦ Μίκυλλε,

lement ce que je deviendrai ensuite ; tu dois le savoir. Car, si c'était quelque heureuse métamorphose, j'irais incontinent me pendre à la cheville sur laquelle tu es perché. 17. — LE COQ. Il n'y a pas moyen de le savoir. Mais, pour en revenir à mon récit, quand j'étais Euphorbe, je combattis à Troie, où je fus tué par Ménélas. Plus tard, je devins Pythagore. Mais pendant un temps mon âme fut sans asile et sans foyer jusqu'à ce que Mnésarque m'ait procuré une demeure. — MIC. Se peut-il, mon ami, que tu aies vécu sans boire ni manger ? — LE COQ. Assurément, car il n'y a que le corps qui éprouve ces besoins. — MIC. Raconte-moi d'abord ce qui est arrivé au siège de Troie. Les choses se sont-elles passées comme le dit Homère ? — LE COQ. Comment l'aurait-il su, lui qui pendant ce temps était

καὶ ἂν ὀλίγα	ne fût-ce que *de* quelques-unes
τῶν ψηγμάτων;	des parcelles ?
Ἀλλὰ καὶ εἰπέ	Mais dis aussi
τί ἔσομαι μετὰ τοῦτο·	ce-que je serai après cela ;
εἰκὸς δὲ	et *il est* vraisemblable
σε εἰδέναι.	toi *le* savoir.
Εἰ γάρ τι ἀγαθὸν εἴη,	Car si c'était quelque-chose de bon,
ἤδη ἀναστὰς	à-l'instant m'étant levé
ἀπάγξομαι	je me pendrai
ἀπὸ τοῦ παττάλου	à la cheville
ἐπὶ οὗ σὺ ἕστηκας.	sur laquelle toi tu te tiens.
17. ΑΛΕΚ. Οὐκ ἂν μάθοις	17. LE COQ. Tu n'apprendrais
τοῦτο	cela
οὐδεμιᾷ μηχανῇ.	par aucun moyen.
Πλὴν ἀλλὰ	Mais cependant
ἐπείπερ ἐγενόμην	après que je fus-devenu
Εὔφορβος	Euphorbe
(ἐπάνειμι γὰρ ἐπὶ ἐκεῖνα),	(car je reviens à ces *choses*-là),
ἐμαχόμην ἐπὶ Ἰλίῳ,	je combattais devant Ilion,
καὶ ἀποθανὼν	et ayant-péri
ὑπὸ Μενέλεω	par le fait de Ménélas
χρόνῳ ὕστερον	*quelque* temps plus tard
ἧκον ἐς Πυθαγόραν.	je vins dans Pythagore.
Τέως δὲ περιέμενον	Mais jusque-là j'attendais
ἄοικος καὶ ἀνέστιος,	sans demeure et sans foyer,
ἄχρι ἂν ὁ Μνήσαρχος	jusqu'à ce que Mnésarque
ἐξεργάσηταί μοι	eût-achevé pour moi
τὸν οἶκον.	ma demeure.
ΜΙΚ. Ἄσιτος,	MIC. Sans nourriture,
ὦ τᾶν,	ô camarade,
καὶ ἄποτος ;	et sans boisson ?
ΑΛΕΚ. Καὶ μάλα·	LE COQ. *Oui,* même tout-à-fait,
οὐδὲ γὰρ ἔδει	car il n'était pas même besoin
τούτων	de ces *choses*
ἢ μόνῳ τῷ σώματι.	que pour le seul corps.
ΜΙΚ. Οὐκοῦν εἰπέ μοι	MIC. Donc dis à moi
πρῶτον τὰ ἐν Ἰλίῳ.	d'abord les *événements* à Troie.
Ἦν τοιαῦτα οἷα	Étaient-ils tels que
Ὅμηρός φησιν	Homère dit
αὐτὰ γενέσθαι;	eux avoir été ?
ΑΛΕΚ. Πόθεν ἐκεῖνος	LE COQ. D'où celui-là
ἂν ἠπίστατο, ὦ Μίκυλλε,	*l*'aurait-il su, ô Micylle,

ὧν γιγνομένων κάμηλος ἐν Βάκτροις ἦν; ἐγὼ δὲ τοσοῦτόν σοί φημι, ὑπερφυὲς μηδὲν γενέσθαι τότε, μήτε τὸν Αἴαντα οὕτω μέγαν μήτε τὴν Ἑλένην αὐτὴν οὕτω καλὴν ὡς οἴονται. Εἶδον γὰρ λευκὴν μέν τινα καὶ ἐπιμήκη τὸν τράχηλον, ὡς εἰκάζειν κύκνου θυγατέρα εἶναι, τὰ δὲ ἄλλα πάνυ πρεσβῦτιν, ἡλικιῶτιν σχεδὸν τῆς Ἑκάβης, ἥν γε Θησεὺς πρῶτον ἁρπάσας ἐν Ἀφίδναις εἶχε κατὰ τὸν Ἡρακλέα γενόμενος, ὁ δὲ Ἡρακλῆς πρότερον εἷλε Τροίαν κατὰ τοὺς πατέρας ἡμῶν τῶν τότε μάλιστα. Διηγεῖτο γάρ μοι ὁ Πάνθους ταῦτα, κομιδῇ μειράκιον ὢν ἑορακέναι λέγων τὸν Ἡρακλέα [1]. — ΜΙΚ. Τί δαί; ὁ Ἀχιλλεὺς τοιοῦτος ἦν, ἄριστος τὰ πάντα, ἢ μῦθος ἄλλως καὶ ταῦτα; — ΑΛΕΚ. Ἐκείνῳ μὲν οὐδὲν συνηνέχθην, ὦ Μίκυλλε,

chameau dans la Bactriane ? Pour moi, je me contente de te déclarer qu'il ne se passa rien alors de merveilleux. Ajax n'était pas si grand ni Hélène elle-même si belle qu'on le croit. Je l'ai vue : elle était blanche, avec un cou d'une longueur démesurée, ce qui faisait dire qu'elle était fille d'un cygne. Du reste, elle était vieille étant du même âge qu'Hécube à peu près. Compte : d'abord enlevée par Thésée, contemporain d'Héraclès ; et celui-ci avait déjà pris Troie du temps de nos pères à nous, les défenseurs de Troie. Je tiens ces faits de Panthoös, qui me disait que dans son enfance il avait vu Héraclès. — MIC. Eh bien, et Achille ? Était-il un héros accompli, comme on le dit, ou faut-il aussi regarder cela comme une fable ? — LE COQ. Je ne me suis jamais mesuré avec lui, Micylle ;

ὧν γιγνομένων	lesquelles *choses* se passant
ἦν κάμηλος	il était chameau
ἐν Βάκτροις;	à Bactres ?
ἐγὼ δέ σοί φημι	pour moi je te déclare
τοσοῦτον,	*seulement* autant que *ceci,*
μηδὲν γενέσθαι	rien *n'*avoir été
τότε ὑπερφυές,	alors merveilleux,
μήτε τὸν Αἴαντα	ni Ajax
οὕτω μέγαν	n'*avoir été* si grand
μήτε τὴν Ἑλένην αὐτὴν	ni Hélène elle-même
οὕτω καλὴν ὡς οἴονται.	si belle qu'on le croit.
Εἶδον γὰρ	Car j'ai vu *elle*
λευκήν τινα μὲν	une *femme* blanche à la vérité
καὶ ἐπιμήκη τὸν τράχηλον,	et allongée *quant* au cou,
ὡς εἰκάζειν	de manière à conjecturer
εἶναι θυγατέρα κύκνου,	*elle* être fille d'un cygne,
τὰ δὲ ἄλλα	mais quant au reste
πάνυ πρεσβῦτιν,	tout-à-fait vieille,
ἡλικιῶτιν σχεδὸν	du-même-âge à-peu-près
τῆς Ἑκάβης,	qu'Hécube,
ἥν γε Θησεὺς	*elle* que certes Thésée
γενόμενος κατὰ τὸν Ἡρα-	né du temps d'Héraclès
ἁρπάσας πρῶτον [κλέα	*l'*ayant enlevée d'abord
εἶχε ἐν Ἀφίδναις,	retenait à Aphidnæ,
ὁ δὲ Ἡρακλῆς	et Héraclès
εἷλε Τροίαν πρότερον	prit Troie auparavant
κατὰ τοὺς πατέρας	au temps des pères
ἡμῶν	de nous, *à savoir*
τῶν τότε μάλιστα.	ceux d'alors environ.
Ὁ Πάνθους γὰρ	En effet Panthoös
διηγεῖτό μοι ταῦτα,	racontait à moi ces *choses,*
λέγων	disant
ἑορακέναι τὸν Ἡρακλέα,	avoir vu Héraclès,
ὢν μειράκιον κομιδῇ.	étant jeune-homme tout-à-fait.
ΜΙΚ. Τί δαί;	MIC. Quoi donc ?
ὁ Ἀχιλλεὺς ἦν τοιοῦτος,	Achille était-il tel,
ἄριστος τὰ πάντα,	*à savoir* excellent dans toutes *choses,*
ἢ καὶ ταῦτα	ou ces choses aussi
μῦθος ἄλλως;	*sont-elles* une fable en-vain (sans fonde-
ΑΛΕΚ. Ἐκείνῳ μὲν	LE COQ. *Avec* celui-là à la vérité [ment] ?
οὐδὲν συνηνέχθην,	je ne me-suis-mesuré *en* rien,
ὦ Μίκυλλε,	ô Micylle,

οὐδ᾽ ἂν ἔχοιμί σοι οὕτω ἀκριβῶς τὰ παρὰ τοῖς Ἀχαιοῖς λέγειν. Πόθεν γάρ, πολέμιος ὤν; τὸν μέντοι ἑταῖρον αὐτοῦ τὸν Πάτροκλον οὐ χαλεπῶς ἀπέκτεινα[1] διελάσας τῷ δόρατι. — ΜΙΚ. Εἶτα σὲ ὁ Μενέλεως μακρῷ εὐχερέστερον. Ἀλλὰ ταῦτα μὲν ἱκανῶς, τὰ Πυθαγόρου δὲ ἤδη λέγε. **18.** — ΑΛΕΚ. Τὸ μὲν ὅλον, ὦ Μίκυλλε, σοφιστὴς ἄνθρωπος ἦν (χρὴ γάρ, οἶμαι, τἀληθὲς λέγειν) ἄλλως δ᾽ οὐκ ἀπαίδευτος οὐδ᾽ ἀμελέτητος τῶν καλλίστων μαθημάτων· ἀπεδήμησα δὲ καὶ εἰς Αἴγυπτον, ὡς συγγενοίμην τοῖς προφήταις ἐπὶ σοφίᾳ, καὶ ἐς τὰ ἄδυτα κατελθὼν ἐξέμαθον τὰς βίβλους τὰς Ὥρου καὶ Ἴσιδος[2], καὶ αὖθις εἰς Ἰταλίαν ἐκπλεύσας οὕτω διέθηκα τοὺς κατ᾽ ἐκεῖνα Ἕλληνας, ὥστε θεὸν ἦγόν με. — ΜΙΚ. Ἤκουσα ταῦτα,

d'ailleurs j'aurais de la peine à faire un récit exact de ce qui s'est passé chez les Grecs, et comment le pourrais-je, moi qui étais leur ennemi ? Mais pour Patrocle, son ami, je le tuai sans peine en le perçant de ma lance. — MIC. Ménélas te le rendit ensuite avec moins de peine encore. Mais brisons là, et revenons à l'histoire de Pythagore. **18.** — LE COQ. En somme, Micylle, je n'étais qu'un vrai sophiste, car il faut, je crois, te parler de bonne foi ; du reste, assez instruit et versé dans les hautes sciences. Je voyageai jusqu'en Égypte pour avoir avec les prêtres de ce pays des entretiens sur la sagesse ; je pénétrai jusque dans leur sanctuaire, et j'étudiai à fond la doctrine contenue dans les livres d'Oros et d'Isis. Je fis une seconde fois voile pour l'Italie, où je disposai si bien en ma faveur les Grecs de ce pays-là, qu'ils me traitèrent comme un dieu. — MIC. J'ai ouï dire tout cela aussi bien que la merveille de ta ré-

οὐδὲ ἂν ἔχοιμι	et je n'aurais pas-même
λέγειν σοι οὕτω ἀκριβῶς	à dire à toi aussi exactement
τὰ παρὰ τοῖς Ἀχαιοῖς.	les *choses* chez les Grecs.
Πόθεν γάρ,	D'où en effet *le saurais-je,*
ὢν πολέμιος;	étant *leur* ennemi ?
Ἀπέκτεινα μέντοι	Je tuai pourtant
τὸν ἑταῖρον αὐτοῦ,	le compagnon de lui,
τὸν Πάτροκλον,	Patrocle,
οὐ χαλεπῶς,	non avec-peine,
διελάσας τῷ δόρατι.	*l'*ayant transpercé de ma lance.
ΜΙΚ. Εἶτα ὁ Μενέλεως	MIC. Ensuite Ménélas
σὲ μακρῷ εὐχερέστερον.	te *tua* beaucoup plus-facilement.
Ἀλλὰ ταῦτα μὲν	Mais ces *choses* d'une-part
ἱκανῶς,	*ont été dites* suffisamment,
λέγε δὲ ἤδη	dis d'autre-part à-présent
τὰ Πυθαγόρου.	les *choses* (l'histoire) de Pythagore.
18. ΑΛΕΚ. Τὸ μὲν ὅλον,	**18.** LE COQ. Pour le tout d'une-part,
ὦ Μίκυλλε,	ô Micylle,
ἦν σοφιστὴς ἄνθρωπος	j'étais un homme sophiste
(χρὴ γάρ, οἶμαι,	(car il faut, je pense,
λέγειν τὸ ἀληθές)	dire le vrai),
ἄλλως δὲ	au reste d'autre-part
οὐκ ἀπαίδευτος	non ignorant
οὐδὲ ἀμελέτητος	ni inexpérimenté
τῶν καλλίστων μαθημά-[των·	des plus belles sciences ;
ἀπεδήμησα δὲ	or j'ai voyagé
καὶ ἐς Αἴγυπτον,	même en Égypte,
ὡς συγγενοίμην	afin de m'entretenir
τοῖς προφήταις	avec les prêtres
ἐπὶ σοφίᾳ,	sur *la* sagesse,
καὶ κατελθὼν	et étant descendu
ἐς τὰ ἄδυτα	dans le sanctuaire,
ἐξέμαθον τὰς βίβλους	j'appris-à-fond les livres
τὰς Ὥρου καὶ Ἴσιδος,	ceux d'Orus et d'Isis,
καὶ αὖθις ἐκπλεύσας	et de nouveau ayant-fait-voile
εἰς Ἰταλίαν,	vers l'Italie,
διέθηκα οὕτω	je disposai de-telle-sorte
τοὺς κατὰ ἐκεῖνα Ἕλληνας,	les Grecs de ces *pays,*
ὥστε ἦγόν με	qu'ils me traitèrent
θεόν.	*comme* un dieu.
ΜΙΚ. Ἤκουσα ταῦτα	MIC. J'ai entendu-dire cela

καὶ ὡς δόξειας ἀναβεβιωκέναι ἀποθανὼν καὶ ὡς χρυσοῦν τὸν μηρὸν ἐπιδείξαιό ποτε αὐτοῖς. Ἐκεῖνο δέ μοι εἰπέ, τί σοι ἐπῆλθε νόμον ποιήσασθαι μήτε κρεῶν μήτε κυάμων ἐσθίειν ; — **ΑΛΕΚ.** Μὴ ἀνάκρινε ταῦτα, ὦ Μίκυλλε. — **ΜΙΚ.** Διὰ τί, ὦ ἀλεκτρυών ; — **ΑΛΕΚ.** Ὅτι αἰσχύνομαι λέγειν πρὸς σὲ τὴν ἀλήθειαν ὑπὲρ αὐτῶν. — **ΜΙΚ.** Καὶ μὴν οὐδὲν ἐχρῆν ὀκνεῖν λέγειν πρὸς ἄνδρα σύνοικον καὶ φίλον· δεσπότην γὰρ οὐκ ἂν ἔτ᾽ εἴποιμι. — **ΑΛΕΚ.** Οὐδὲν ὑγιὲς οὐδὲ σοφὸν ἦν, ἀλλ᾽ ἑώρων ὅτι εἰ μὲν τὰ συνήθη καὶ ταὐτὰ τοῖς πολλοῖς νομίζοιμι, ἥκιστα ἐπισπάσομαι τοὺς ἀνθρώπους ἐς τὸ θαῦμα, ὅσῳ δ᾽ ἂν ξενίζοιμι, τοσούτῳ σεμνότερος ᾤμην αὐτοῖς ἔσεσθαι.

surrection, ainsi que la cuisse d'or que tu leur as montrée. Mais, dis-moi, quelle idée t'est venue d'interdire de manger ni viande ni fèves ? – LE COQ. Trêve de pareilles questions, Micylle. – MIC. Et pourquoi donc, mon coq ? – LE COQ. C'est que je rougirais de te dire la vérité sur cet article. – MIC. Cependant tu devrais parler sans crainte à un homme qui est ton compagnon, ton ami ; car désormais je n'oserai plus dire ton maître. – LE COQ. Eh bien, cette défense ne portait sur rien de sensé et de sage ; mais je voyais qu'en prenant les lois de tout le monde, je ne réussirais guère à me faire admirer, et qu'au contraire plus j'aurais l'air étrange, plus

καὶ ὡς δόξειας	et que tu avais paru
ἀποθανὼν	étant mort
ἀναβεβιωκέναι	avoir-vécu-de-nouveau
καὶ ὡς	et que
ἐπιδείξαιό	tu avais montré-avec-ostentation
ποτε αὐτοῖς	un jour à eux
τὸν μηρὸν χρυσοῦν.	ta cuisse *être* d'or.
Εἰπὲ δέ μοι ἐκεῖνο,	Mais dis-moi cela,
τί σοι ἐπῆλθε	pourquoi t'est-il venu *à l'esprit*
ποιήσασθαι νόμον	*de* t'être-fait une loi
ἐσθίειν	de *ne* manger
μήτε κρεῶν	ni viandes
μήτε κυάμων;	ni fèves ?
ΑΛΕΚ. Μὴ ἀνάκρινε	LE COQ. Ne demande pas
ταῦτα, ὦ Μίκυλλε.	ces *choses,* ô Micylle.
ΜΙΚ. Διὰ τί,	MIC. Pourquoi,
ὦ ἀλεκτρυών ;	ô coq ?
ΑΛΕΚ. Ὅτι	LE COQ. Parce que
αἰσχύνομαι λέγειν πρὸς σὲ	je rougis *de* dire à toi
τὴν ἀλήθειαν	la vérité
ὑπὲρ αὐτῶν.	sur elles.
ΜΙΚ. Καὶ μὴν	MIC. Et pourtant
ἐχρῆν οὐδὲν	il n'aurait fallu nullement
ὀκνεῖν λέγειν πρὸς ἄνδρα	hésiter *à* parler à un homme
σύνοικον καὶ φίλον·	de-la-même-maison et ami ;
οὐ γὰρ ἂν ἔτι εἴποιμι	car je n'aurais plus dit
δεσπότην.	maître.
ΑΛΕΚ. Ἦν οὐδὲν ὑγιὲς	LE COQ. *Cela* n'était rien de sensé
οὐδὲ σοφόν,	ni de sage,
ἀλλὰ ἑώρων ὅτι	mais je voyais que
εἰ μὲν νομίζοιμι	si j'avais pour usage
τὰ συνήθη	les *usages* ordinaires
καὶ τὰ αὐτὰ	et les mêmes
τοῖς πολλοῖς,	que la plupart *des hommes,*
ἐπισπάσομαι	j'entraînerai (entraînerais)
ἥκιστα	le moins (fort peu)
τοὺς ἀνθρώπους ἐς τὸ θαῦμα,	les hommes vers l'admiration,
ᾤμην δέ,	mais je pensais,
ὅσῳ ἂν ξενίζοιμι,	d'autant *plus* que j'agirais-en-étranger,
ἔσεσθαι τοσούτῳ	devoir-être d'autant
σεμνότερος αὐτοῖς.	plus-respectable pour eux.

Διὸ τοῦτο καινοποιεῖν εἱλόμην, ἀπόρρητον ποιησάμενος τὴν αἰτίαν, ὡς εἰκάζοντες ἄλλος ἄλλως ἅπαντες ἐκπλήττωνται καθάπερ ἐπὶ τοῖς ἀσαφέσι τῶν χρησμῶν. Ὁρᾷς; καταγελᾷς μου καὶ σὺ ἐν τῷ μέρει. — ΜΙΚ. Οὐ τοσοῦτον ὅσον Κροτωνιατῶν καὶ Μεταποντίνων καὶ Ταραντίνων καὶ τῶν ἄλλων ἀφώνων σοι ἑπομένων καὶ προσκυνούντων τὰ ἴχνη ἃ σὺ πατῶν ἀπολιμπάνοις. **19.** Ἀποδυσάμενος δὲ τὸν Πυθαγόραν τίνα μετημφιέσω μετ᾽ αὐτόν; — ΑΛΕΚ. Ἀσπασίαν τὴν ἐκ Μιλήτου ἑταίραν. — ΜΙΚ. Φεῦ τοῦ λόγου· καὶ γυνὴ γὰρ ἐν τοῖς ἄλλοις ὁ Πυθαγόρας ἐγένετο, καὶ ἦν ποτε χρόνος ὅτε καὶ σὺ ᾠοτόκεις, ὦ γενναιότατε ἀλεκτρυόνων, καὶ συνῆσθα Περικλεῖ Ἀσπασία οὖσα, καὶ ἐκύεις ἀπ᾽ αὐτοῦ καὶ ἔρι᾽ ἔξ-

l'on me jugerait digne de respect. C'est pourquoi, je pris le parti de faire cette innovation, en faisant un mystère du motif, afin de partager les esprits dans leurs conjectures et de les frapper tous d'admiration comme au sujet d'un oracle obscur. Vois-tu, toi aussi tu me railles à ton tour. – MIC. Mais bien moins que les habitants de Crotone, de Métaponte et de Tarente, et ces autres muets qui marchaient à ta suite, adoraient humblement la trace de tes pas. **19.** Mais après avoir dépouillé le personnage de Pythagore, quel autre as-tu revêtu ? – LE COQ. Celui d'Aspasie, la courtisane de Milet. – MIC. Ah ! que dis-tu là ? Tu as aussi été femme, Pythagore ! Comment, maître coq, il a donc été un temps où tu pondais ? Et tu as couché avec Périclès, quand tu étais Aspasie ; tu as été enceinte de ses œuvres, tu as filé de la laine, tenu la navette,

Διὸ εἱλόμην	C'est-pourquoi j'ai choisi
καινοποιεῖν τοῦτο,	*d'*innover cela (de faire cette innovation),
ποιησάμενος τὴν αἰτίαν	ayant fait le motif
ἀπόρρητον,	mystérieux,
ὡς εἰκάζοντες	afin que conjecturant
ἄλλος ἄλλως	*l'un d'une manière* l'autre d'une autre
ἅπαντες ἐκπλήττωνται	tous soient frappés (d'admiration)
καθάπερ	de même que
ἐπὶ τοῖς ἀσαφέσι τῶν χρησμῶν.	sur les obscurs d'entre les oracles.
Ὁρᾷς;	Vois-tu ?
καταγελᾷς μου	tu te moques de moi
καὶ σὺ ἐν τῷ μέρει.	toi aussi à ton tour.
ΜΙΚ. Οὐ τοσοῦτον ὅσον	MIC. Non autant que
Κροτωνιατῶν	des Crotoniates
καὶ Μεταποντίνων	et des Métapontins
καὶ Ταραντίνων	et des Tarentins
καὶ τῶν ἄλλων ἀφώνων	et des autres muets
σοι ἑπομένων	suivant toi,
καὶ προσκυνούντων	et adorant
τὰ ἴχνη	les traces
ἃ σὺ ἀπολιμπάνοις	que tu laissais derrière toi
πατῶν.	*en* marchant.
19. Ἀποδυσάμενος δὲ	**19.** Mais ayant-dépouillé
τὸν Πυθαγόραν,	*le personnage de* Pythagore,
τίνα μετημφιέσω	quel as-tu revêtu
μετὰ αὐτόν;	après lui ?
ΑΛΕΚ. Ἀσπασίαν	LE COQ. *J'ai revêtu le personnage d'*Aspasie,
τὴν ἑταίραν ἐκ Μιλήτου.	la courtisane de Milet.
ΜΙΚ. Φεῦ	MIC. Hélas
τοῦ λόγου·	*au sujet* de ce discours !
ὁ Πυθαγόρας γὰρ	Pythagore en effet
ἐν τοῖς ἄλλοις	entre autres (métamorphoses)
ἐγένετο καὶ γυνή,	a été aussi femme,
καὶ ἦν ποτε χρόνος	et il y avait quelquefois un temps
ὅτε καὶ σὺ ᾠοτόκεις,	où aussi toi tu pondais,
ὦ γενναιότατε ἀλεκτρυόνων,	ô le-plus-noble des coqs,
καὶ συνῆσθα Περικλεῖ	et tu t'unissais à Périclès
οὖσα Ἀσπασία,	étant Aspasie,
καὶ ἐκύεις ἀπὸ αὐτοῦ	et tu étais grosse *du fait* de lui
καὶ ἔξαινες ἔρια	et tu cardais des laines

αινες καὶ κρόκην κατῆγες καὶ ἐγυναικίζου ἐς τὸ ἑταιρικόν; — **ΑΛΕΚ.** Πάντα ταῦτα ἐποίουν οὐ μόνος, ἀλλὰ καὶ Τειρεσίας[1] πρὸ ἐμοῦ καὶ ὁ Ἐλάτου παῖς ὁ Καινεύς[2], ὥστε ὁπόσα ἂν ἀποσκώψῃς ἐς ἐμέ, καὶ ἐς ἐκείνους ἀποσκώψας ἔσῃ. — **ΜΙΚ.** Τί οὖν; πότερος ὁ βίος ἡδίων σοι ἦν, ὅτε ἀνὴρ ἦσθα ἢ ὅτε σε ὁ Περικλῆς ὤπυιεν; — **ΑΛΕΚ.** Ὁρᾷς οἷον τοῦτο ἠρώτησας, οὐδὲ τῷ Τειρεσίᾳ συνενεγκοῦσαν τὴν ἀπόκρισιν[3]; — **ΜΙΚ.** Ἀλλὰ κἂν σὺ μὴ εἴπῃς, ἱκανῶς ὁ Εὐριπίδης διέκρινε τὸ τοιοῦτον, εἰπὼν ὡς τρὶς ἂν ἐθέλοι παρ᾽ ἀσπίδα στῆναι ἢ ἅπαξ τεκεῖν[4]. — **ΑΛΕΚ.** Καὶ μὴν ἀναμνήσω σε, ὦ Μίκυλλε, οὐκ ἐς μακρὰν ὠδινοῦσαν· ἔσῃ γὰρ γυνὴ καὶ σὺ ἐν πολλῇ τῇ περιόδῳ πολλάκις. — **ΜΙΚ.** Οὐκ ἀπάγξῃ, ὦ ἀλεκτρυών,

et fait le métier de courtisane ? — LE COQ. Je ne suis pas le seul qui ait fait tout cela. Tirésias, avant moi, et Kænée, fils d'Élatus, ont été femmes, si bien qu'en te moquant de moi, tu te moques d'eux. — MIC. Sous lequel des deux sexes as-tu goûté le plus de plaisir ? Était-ce quand tu étais homme ou bien quand Périclès te caressait ? — LE COQ. Fais attention à ce que tu me demandes : pareille question a été funeste à Tirésias. — MIC. Eh bien ! si tu ne veux pas me répondre, je m'en tiendrai à ce que dit Euripide, qu'il aimerait mieux aller trois fois, bouclier en main, à la guerre, que d'accoucher une seule. — LE COQ. Un jour viendra, Micylle, où tu accoucheras à ton tour : tu seras femme aussi, après une longue révolution de siècles. — MIC. Tu ne t'étrangleras pas, maudit coq ! Prends-tu tout

καὶ κατῆγες κρόκην	et tu frappais *avec la navette* la trame
καὶ ἐγυναικίζου	et tu faisais fonction de femme
ἐς τὸ ἑταιρικόν;	à la manière des courtisanes ?
ΑΛΕΚ. Πάντα ταῦτα	LE COQ. Tout cela
ἐποίουν οὐ μόνος,	je *le* faisais non le-seul,
ἀλλὰ καὶ Τειρεσίας	mais aussi Tirésias
πρὸ ἐμοῦ [νεύς,	*le faisait* avant moi
καὶ ὁ παῖς Ἐλάτου ὁ Και-	et l'enfant d'Élatus, Kænée,
ὥστε ὁπόσα ἂν ἀποσκώ-	de-sorte-que autant *de railleries* que tu
ἐς ἐμέ, [ψῃς	contre moi, [railles
ἔσῃ ἀποσκώψας	tu seras *les* ayant raillées (railleras)
καὶ ἐς ἐκείνους.	aussi contre eux.
ΜΙΚ. Τί οὖν;	MIC. Quoi donc ?
πότερος ὁ βίος	laquelle-des-deux vie
ἦν ἡδίων σοι,	était plus agréable à toi,
ὅτε ἦσθα ἀνὴρ	quand tu étais homme
ἢ ὅτε ὁ Περικλῆς	ou quand Périclès
σε ὤπυιεν;	te prenait-pour-femme ?
ΑΛΕΚ. Ὁρᾷς	LE COQ. Vois-tu (Sais-tu) [sée,
οἷον τοῦτο ἠρώτησας,	quelle-sorte-de chose-là (question) tu as po-
οὐδὲ τῷ Τειρεσίᾳ	et *vois-tu que* non pas même pour Tirésias
τὴν ἀπόκρισιν	la réponse
συνενεγκοῦσαν;	a été avantageuse ?
ΜΙΚ. Ἀλλὰ καὶ ἂν σὺ	MIC. Mais même si tu
μὴ εἴπῃς,	ne *le* dis pas,
ὁ Εὐριπίδης	Euripide
διέκρινε ἱκανῶς	a décidé suffisamment
τὸ τοιοῦτον,	telle *question*,
εἰπὼν ὡς ἐθέλοι ἂν	en disant qu'il voudrait
στῆναι τρὶς	se tenir trois-fois
παρὰ ἀσπίδα	près d'un (sous un) bouclier
ἢ τεκεῖν ἅπαξ.	*plutôt* que d'enfanter une-seule-fois.
ΑΛΕΚ. Καὶ μήν,	LE COQ. Et cependant,
ὦ Μίκυλλε,	ô Micylle,
ἀναμνήσω σε	je t'*en* ferai ressouvenir
οὐκ ἐς μακρὰν	dans pas longtemps
ὠδινοῦσαν·	quand tu éprouveras-les-douleurs-de-l'-enfantement :
καὶ σὺ γὰρ	car toi aussi
ἔσῃ γυνὴ πολλάκις	seras femme souvent
ἐν πολλῇ τῇ περιόδῳ.	dans *ton* long retour-périodique.
ΜΙΚ. Οὐκ ἀπάγξῃ,	MIC. Ne te pendras-tu pas (Va te faire
ὦ ἀλεκτρυών,	ô coq, [pendre),

ἅπαντας οἰόμενος **Μ**ιλησίους ἢ **Σ**αμίους εἶναι [1]; σὲ γοῦν φασι καὶ **Π**υθαγόραν ὄντα τὴν ὥραν λαμπρὸν πολλάκις **Ἀ**σπασίαν γενέσθαι τῷ τυράννῳ [2]. **20.** **Τ**ίς δὲ δὴ μετὰ τὴν **Ἀ**σπασίαν ἀνὴρ ἢ γυνὴ αὖθις ἀνεφάνης ; — **ΑΛΕΚ.** **Ὁ** κυνικὸς **Κ**ράτης. — **ΜΙΚ.** **Ὦ** **Δ**ιοσκόρω τῆς ἀνομοιότητος, ἐξ ἑταίρας φιλόσοφος. — **ΑΛΕΚ.** **Ε**ἶτα βασιλεύς, εἶτα πένης καὶ μετ᾽ ὀλίγον σατράπης, εἶτα ἵππος καὶ κολοιὸς καὶ βάτραχος καὶ ἄλλα μυρία· μακρὸν δ᾽ ἂν γένοιτο καταριθμήσασθαι ἕκαστα· τὰ τελευταῖα δὲ ἀλεκτρυὼν πολλάκις, ἥσθην γὰρ τῷ τοιούτῳ βίῳ, καὶ παρὰ πολλοῖς ἄλλοις δουλεύσας καὶ πένησι καὶ πλουσίοις, νῦν καὶ σοὶ σύνειμι, καταγελῶν ὁσημέραι ποτνιωμένου καὶ οἰμώζοντος ἐπὶ τῇ πενίᾳ καὶ τοὺς πλουσίους θαυμάζον-

le monde pour des Milésiens ou des Samiens ? On dit qu'étant Pythagore, tu étais assez joli garçon dans ta jeunesse, et que tu servis plus d'une fois d'Aspasie au tyran de Samos. **20.** Et après Aspasie, quel homme ou quelle femme as-tu été ? — LE COQ. Cratès le cynique. — MIC. Ô Dioscures ! quelle étrange métamorphose ! de courtisane, philosophe. — LE COQ. Ensuite roi, puis pauvre, peu de temps après satrape, puis cheval, geai, grenouille, puis bien d'autres choses qu'il serait long de raconter en détail. J'ai fini par être coq, je l'ai été plusieurs fois, car j'aimais beaucoup ce genre de vie. J'ai servi chez beaucoup de personnes, pauvres et riches ; enfin me voici maintenant avec toi, riant de te voir te lamenter et gémir tous les jours sur ta pauvreté et t'extasier sur le bonheur

οἰόμενος	*en* pensant (comme tu penses)
ἅπαντας εἶναι	tous être
Μιλησίους ἢ Σαμίους;	des Milésiens ou des Samiens ?
φασὶ γοῦν	on dit du moins
σὲ ὄντα καὶ Πυθαγόραν	toi étant notamment Pythagore
λαμπρὸν τὴν ὥραν	brillant *quant à* la (ta) beauté
γενέσθαι πολλάκις	avoir été souvent
Ἀσπασίαν τῷ τυράννῳ.	Aspasie pour le tyran.
20. Τίς δὲ δὴ ἀνὴρ	**20.** Mais quel homme donc
ἢ γυνὴ	ou *quelle* femme
ἀνεφάνης αὖθις	es-tu apparu (as-tu été) de nouveau
μετὰ τὴν Ἀσπασίαν;	après Aspasie ?
ΑΛΕΚ. Ὁ κυνικὸς	LE COQ. Le cynique
Κράτης.	Cratès.
ΜΙΚ. Ὦ Διοσκόρω	MIC. Oh, par les-deux-Dioscures,
τῆς ἀνομοιότητος,	la différence !
ἐξ ἑταίρας	de courtisane
φιλόσοφος.	philosophe.
ΑΛΕΚ. Εἶτα βασιλεύς,	LE COQ. Ensuite roi,
εἶτα πένης	ensuite pauvre,
καὶ μετὰ ὀλίγον σατράπης,	et peu *de temps* après satrape,
εἶτα ἵππος καὶ κολοιὸς	puis cheval et geai,
καὶ βάτραχος	et grenouille
καὶ μυρία ἄλλα·	et de nombreuses autres *choses ;*
γένοιτο δὲ ἂν μακρὸν	mais *il* serait long
καταριθμήσασθαι ἕκαστα·	d'énumérer chaque *chose ;*
τὰ τελευταῖα δὲ	mais à la fin
ἀλεκτρυὼν πολλάκις,	*j'ai été* coq souvent,
ἥσθην γὰρ	car je me suis réjoui
τῷ τοιούτῳ βίῳ,	de la vie de-cette-espèce,
καὶ δουλεύσας	et ayant-été-esclave
παρὰ πολλοῖς ἄλλοις	chez beaucoup d'autres
καὶ πένησι καὶ πλουσίοις,	et pauvres et riches,
νῦν σύνειμι καὶ σοί,	maintenant je suis aussi avec toi,
καταγελῶν ὁσημέραι	raillant chaque jour
ποτνιωμένου	*toi* te lamentant
καὶ οἰμώζοντος	et gémissant
ἐπὶ τῇ πενίᾳ	sur ta pauvreté
καὶ θαυμάζοντος	et admirant
τοὺς πλουσίους	les riches

τος ὑπ᾽ ἀγνοίας τῶν ἐκείνοις προσόντων κακῶν. Εἰ γοῦν ᾔδεις τὰς φροντίδας ἃς ἔχουσιν, ἐγέλας ἂν ἐπὶ σαυτῷ πρῶτον οἰηθέντι ὑπερευδαίμονα εἶναι τὸν πλοῦτον. — ΜΙΚ. Οὐκοῦν, ὦ Πυθαγόρα, ἢ ὅ τι μάλιστα χαίρεις καλούμενος, ὡς μὴ ἐπιταράττοιμι τὸν λόγον ἄλλοτε ἄλλον καλῶν... — ΑΛΕΚ. Διοίσει μὲν οὐδὲν ἤν τ᾽ Εὔφορβον ἤν τε Πυθαγόραν ἢ Ἀσπασίαν καλῇς ἢ Κράτητα· πάντα γὰρ ταῦτα ἐγώ εἰμι. Πλὴν τὸ νῦν ὁρώμενον τοῦτο ὀνομάζων ἄμεινον ἂν ποιοῖς, ὡς μὴ ἀτιμάζοις εὐτελὲς εἶναι δοκοῦν τὸ ὄρνεον, καὶ ταῦτα τοσαύτας ἐν αὐτῷ ψυχὰς ἔχον. **21.** — ΜΙΚ. Οὐκοῦν, ὦ ἀλεκτρυών, ἐπειδὴ πάντων σχεδὸν τῶν βίων ἐπειράθης καὶ πάντα ᾖσθα,

des riches, faute de connaître les maux qui les assiègent. Oui, si tu voyais combien de soucis les rongent, tu rirais toi-même à tes dépens pour avoir cru que la richesse est le plus grand des bonheurs. — MIC. Ainsi Pythagore, ou tout autre nom qu'il te plaira, car je ne veux pas gêner la conversation en t'appelant tantôt d'une façon, tantôt d'une autre... — LE COQ. Appelle-moi Euphorbe, Pythagore, Aspasie, Cratès, peu m'importe, puisque je suis tout cela. Cependant tu feras mieux de m'appeler coq, comme je le suis à présent, ne fût-ce que par respect pour un animal qui n'a de bas que les apparences, puisqu'il réunit en lui tant d'âmes différentes. **21.** — MIC. Or çà, mon coq, puisque tu as essayé de presque toutes les conditions et que tu as été tout, fais-moi un tableau fidèle de la vie

ὑπὸ ἀγνοίας	par ignorance
τῶν κακῶν	des maux
προσόντων ἐκείνοις.	étant à eux.
Εἰ γοῦν ᾔδεις	Si du moins tu savais
τὰς φροντίδας ἃς ἔχουσιν,	les soucis qu'ils ont,
ἐγέλας ἂν ἐπὶ σαυτῷ	tu rirais aux dépens de toi-même
οἰηθέντι πρῶτον	ayant cru d'abord
τὸν πλοῦτον	la richesse
εἶναι ὑπερευδαίμονα.	être heureuse-par-dessus-tout.
ΜΙΚ. Οὐκοῦν,	MIC. Ainsi donc,
ὦ Πυθαγόρα,	ô Pythagore,
ἢ ὅ τι καλούμενος	ou ce que étant appelé
χαίρεις μάλιστα,	tu te-réjouis le plus,
ὡς μὴ ἐπιταράττοιμι	afin que je ne trouble pas
τὸν λόγον	la conversation
καλῶν	*t'*appelant *tantôt d'un nom*
ἄλλοτε ἄλλον.	tantôt d'un autre.
ΑΛΕΚ. Διοίσει μὲν	LE COQ. Il *ne* différera
οὐδὲν	nullement
ἤν τε καλῇς	soit que tu *me* nommes
Εὔφορβον,	Euphorbe,
ἤν τε Πυθαγόραν	soit que *tu me nommes* Pythagore
ἢ Ἀσπασίαν ἢ Κράτητα·	ou Aspasie ou Cratès ;
ἐγὼ γάρ εἰμι	car je suis
πάντα ταῦτα.	toutes ces *choses.*
Πλὴν ἄμεινον ἂν ποιοῖς	Seulement tu ferais mieux
ὀνομάζων	nommant *pour me parler*
τοῦτο	ceci
τὸ ὁρώμενον νῦν,	l'*être* vu maintenant,
ὡς μὴ ἀτιμάζοις	afin que tu ne mésestimes pas
τὸ ὄρνεον	l'oiseau
δοκοῦν εἶναι εὐτελές,	paraissant être de-peu-de-prix,
καὶ ταῦτα	et cela
ἔχον ἐν αὐτῷ	possédant en lui-même
τοσαύτας ψυχάς.	de si nombreuses âmes.
21. ΜΙΚ. Οὐκοῦν,	**21.** MIC. Donc,
ὦ ἀλεκτρυών,	ô coq,
ἐπειδὴ ἐπειράθης	puisque tu as-fait-l'épreuve
σχεδὸν πάντων τῶν βίων	de presque toutes les vies
καὶ ᾖσθα πάντα,	et que tu étais (as été) tout,

λέγοις ἂν ἤδη σαφῶς ἰδίᾳ μὲν τὰ τῶν πλουσίων ὅπως ἔχει, ἰδίᾳ δὲ τὰ πτωχικά, ὡς μάθω εἰ ἀληθῆ ταῦτα φῄς, εὐδαιμονέστερον ἀποφαίνων με τῶν πλουσίων. — **ΑΛΕΚ.** Ἰδοὺ δὴ οὕτως ἐπίσκεψαι, ὦ **Μίκυλλε**· σοὶ μὲν οὔτε πολέμου πολὺς λόγος, ἢν λέγηται ὡς οἱ πολέμιοι προσελαύνουσιν, οὐδὲ φροντίζεις μὴ τὸν ἀγρὸν τέμωσιν ἐμβαλόντες ἢ τὸν παράδεισον ξυμπατήσωσιν ἢ τὰς ἀμπέλους δῃώσωσιν, ἀλλὰ τῆς σάλπιγγος ἀκούων μόνον, εἴπερ ἄρα, περιβλέπεις τὸ κατὰ σεαυτόν, οἷ τραπόμενον χρὴ σωθῆναι καὶ τὸν κίνδυνον διαφυγεῖν· οἱ δ᾽ εὐλαβοῦνται μὲν καὶ ἀμφ᾽ ἑαυτοῖς, ἀνιῶνται δὲ ὁρῶντες ἀπὸ τῶν τειχέων ἀγόμενα καὶ φερόμενα ὅσα εἶχον

des riches et de celle des pauvres, afin que je sache si tu dis vrai en me déclarant plus heureux que les riches. – LE COQ. Eh bien, réfléchis, Micylle. Toi, la guerre t'inquiète assez peu, et si par hasard le bruit court que les ennemis approchent, tu ne crains pas qu'ils envahissent ton champ pour le ravager, qu'ils foulent aux pieds ton jardin, ou qu'ils détruisent les vignes ; au premier son de la trompette, tu n'as qu'à regarder autour de toi, si tu veux, pour trouver une issue qui te dérobe au péril et te mette en sûreté. Les riches non seulement ont à craindre pour leur propre vie, mais ils ont encore la douleur de voir du haut des murs saccager tout ce

λέγοις ἂν	tu pourrais-*me*-dire
ἤδη σαφῶς	maintenant clairement
ὅπως ἔχει	en-quel-état sont
ἰδίᾳ μὲν	en-particulier d'une-part
τὰ τῶν πλουσίων,	les *affaires* des riches,
ἰδίᾳ δὲ	et en-particulier d'autre-part
τὰ πτωχικά,	les *affaires* des-pauvres,
ὡς μάθω εἰ φῄς	afin que je sache si tu dis
ταῦτα ἀληθῆ	des *choses* vraies
ἀποφαίνων με	*en* déclarant moi
εὐδαιμονέστερον τῶν πλουσίων.	plus heureux que les riches.
ΑΛΕΚ. Ἰδοὺ δὴ	LE COQ. Voici donc
ἐπίσκεψαι οὕτως,	examine ainsi,
ὦ Μίκυλλε,	ô Micylle,
σοὶ μὲν	pour toi d'une-part
οὔτε λόγος	et le compte *à tenir*
πολέμου πολύς,	de la guerre n'est pas grand,
ἢν λέγηται	s'il est dit
ὡς οἱ πολέμιοι	que les ennemis
προσελαύνουσιν,	approchent,
οὐδὲ φροντίζεις	et tu n'as-pas-des-soucis
μὴ ἐμβαλόντες	dans-la-crainte-que ayant envahi
τὸν ἀγρὸν	ton champ
τέμωσιν	ils *le* ravagent
ἢ ξυμπατήσωσι τὸν παράδεισον	ou foulent-aux-pieds ton jardin
ἢ δῃώσωσι τὰς ἀμπέλους,	ou saccagent tes vignes,
ἀλλὰ ἀκούων τῆς σάλπιγγος	mais entendant la trompette
περιβλέπεις μόνον,	tu regardes seulement,
εἴπερ ἄρα,	si par hasard *tu regardes,*
τὸ κατὰ σεαυτόν,	la *chose* concernant toi-même,
οἷ τραπόμενον	*à savoir* où t'étant-tourné
χρὴ σωθῆναι	il faut *toi* sauver
καὶ διαφυγεῖν τὸν κίνδυνον·	et fuir le péril ;
οἱ δὲ	mais eux (les riches)
εὐλαβοῦνται μὲν	prennent-garde d'une part
καὶ ἀμφὶ ἑαυτοῖς,	aussi à eux-mêmes,
ἀνιῶνται δὲ	et se désolent d'autre part
ὁρῶντες	voyant
ἀπὸ τῶν τειχέων	du haut des remparts
ὅσα εἶχον	toutes *les choses* qu'ils possédaient
ἐν τοῖς ἀγροῖς	dans les champs

ἐν τοῖς ἀγροῖς. Καὶ ἤν τε εἰσφέρειν δέῃ, μόνοι καλοῦνται, ἤν τε ἐπεξιέναι, προκινδυνεύουσι στρατηγοῦντες ἢ ἱππαρχοῦντες· σὺ δὲ οἰσυΐνην ἀσπίδα ἔχων, εὐσταλὴς καὶ κοῦφος ἐς σωτηρίαν, ἕτοιμος ἑστιᾶσθαι τὰ ἐπινίκια, ἐπειδὰν θύῃ ὁ στρατηγὸς νενικηκώς. **22.** Ἐν εἰρήνῃ τ᾽ αὖ σὺ μὲν τοῦ δήμου ὢν ἀναβὰς ἐς ἐκκλησίαν τύραννος εἶ τῶν πλουσίων, οἱ δὲ φρίττουσι καὶ ὑποπτήσσουσι καὶ διανομαῖς ἱλάσκονταί σε. Λουτρὰ μὲν γὰρ ὡς ἔχοις καὶ ἀγῶνας καὶ θεάματα καὶ τἆλλα διαρκῆ ἅπαντα ἐκεῖνοι πονοῦσι, σὺ δ᾽ ἐξεταστὴς καὶ δοκιμαστὴς πικρὸς ὥσπερ δεσπότης, οὐδὲ λόγου μεταδιδὼς ἐνίοτε· κἂν σοι δοκῇ, κατεχαλάζησας αὐτῶν ἀφθόνους τοὺς λίθους ἢ

qu'ils possèdent dans les champs. A-t-on besoin de contributions, on s'adresse à eux seuls ; faut-il faire une sortie contre l'ennemi, le danger n'est que pour les riches, qui commandent l'infanterie ou la cavalerie ; toi, avec ton bouclier d'osier, alerte et leste pour la fuite, tu es prêt à t'asseoir au banquet triomphal, le jour où le stratège célèbre sa victoire par un sacrifice. **22.** En temps de paix, tu viens en qualité de citoyen à l'assemblée. Là tu règnes sur les riches qui tremblent devant toi, te redoutent et cherchent à t'apaiser par des largesses. Ils se donnent mille peines pour te procurer la jouissance des bains, des jeux, des spectacles et de tous les autres plaisirs : toi, cependant, tu joues le rôle de juge, d'inspecteur, de maître sévère, quelquefois sans leur donner de raison. Quand il te plaît, tu fais pleuvoir sur eux une grêle de pierres, et tu confisques leurs biens.

ἀγόμενα καὶ φερόμενα.	saccagées.
Καὶ ἤν τε δέῃ	Et s'il faut
εἰσφέρειν,	verser-de-l'argent,
μόνοι καλοῦνται	*eux* seuls sont-appelés
ἤν τε ἐπεξιέναι,	et s'il *faut* faire-une-sortie-contre l'ennemi,
προκινδυνεύουσι	ils courent-des-dangers-avant-*les*-autres
στρατηγοῦντες	étant-stratèges
ἢ ἱππαρχοῦντες·	ou étant-hipparques ;
σὺ δὲ ἔχων	mais toi ayant
ἀσπίδα οἰσυΐνην,	un bouclier d'osier,
εὐσταλὴς καὶ κοῦφος	alerte et léger
ἐς σωτηρίαν,	pour le salut (la fuite),
ἕτοιμος	*tu es* prêt
ἑστιᾶσθαι τὰ ἐπινίκια,	à manger le *festin* de-la-victoire,
ἐπειδὰν ὁ στρατηγὸς	lorsque le stratège
νενικηκὼς θύῃ.	ayant-vaincu offre-un-sacrifice.
22. Ἐν εἰρήνῃ τε αὖ	**22.** Et aussi en paix
σὺ μὲν	toi d'une-part
ὢν τοῦ δήμου	étant du peuple
ἀναβὰς ἐς ἐκκλησίαν	étant monté à *l'*assemblée
εἶ τύραννος τῶν πλουσίων,	tu es tyran des riches,
οἱ δὲ φρίττουσι	et eux tremblent
καὶ ὑποπτήσσουσί σε	et te redoutent
καὶ ἱλάσκονται	et *t'*apaisent
διανομαῖς.	par des distributions.
Ἐκεῖνοι μὲν γὰρ	Ceux-là en effet
πονοῦσιν	se-donnent-de-la-peine
ὡς ἔχοις λουτρὰ	pour-que tu aies des bains
καὶ ἀγῶνας	et des jeux
καὶ θεάματα	et des spectacles
καὶ τὰ ἄλλα ἅπαντα	et toutes les autres *choses*
διαρκῆ,	suffisantes (suffisamment),
σὺ δὲ ἐξεταστὴς	tandis que toi, inspecteur
καὶ δοκιμαστὴς	et appréciateur
πικρὸς ὥσπερ δεσπότης,	sévère comme un maître,
ἐνίοτε	quelquefois
οὐδὲ μεταδιδὼς	tu-ne-*leur*-fais-même-pas-part
λόγου·	de la raison ;
καὶ ἄν σοι δοκῇ,	et si cela te plaît,
κατεχαλάζησας	tu as-lancé-(tu lances)-en-grêle
αὐτῶν	*contre* ceux-ci
τοὺς λίθους ἀφθόνους	les pierres en-abondance
ἢ ἐδήμευσας	ou tu as-confisqué (tu confisques)

τὰς οὐσίας ἐδήμευσας· οὔτε δὲ συκοφάντην δέδιας αὐτὸς οὔτε ληστὴν μὴ ὑφέληται τὸ χρυσίον ὑπερβὰς τὸ θριγκίον ἢ διορύξας τὸν τοῖχον, οὔτε πράγματα ἔχεις λογιζόμενος ἢ ἀπαιτῶν ἢ τοῖς καταράτοις οἰκονόμοις διαπυκτεύων καὶ πρὸς τοσαύτας φροντίδας διαμεριζόμενος· ἀλλὰ κρηπῖδα συντελέσας ἑπτὰ ὀβολοὺς ἔχων τὸν μισθόν, ἀπαναστὰς περὶ δείλην ὀψίαν, λουσάμενος, ἢν δοκῇ, σαπέρδην τινὰ ἢ μαινίδας ἢ κρομμύων κεφαλίδας ὀλίγας πριάμενος, εὐφραίνεις σεαυτόν, ᾄδων τὰ πολλὰ καὶ τῇ βελτίστῃ πενίᾳ προσφιλοσοφῶν. **23.** Ὥστε διὰ ταῦτα ὑγιαίνεις τε καὶ ἔρρωσαι τὸ σῶμα καὶ διακαρτερεῖς πρὸς τὸ κρύος· οἱ πόνοι γάρ σε παραθήγοντες οὐκ εὐκαταφρόνητον ἀνταγωνιστὴν ἀποφαίνουσι πρὸς τὰ δοκοῦν-

Pour toi, tu ne crains ni le sycophante, ni le voleur qui voudrait faire un trou à tes murs, ou escalader ta maison pour enlever ton or. Tu n'as l'embarras ni de rendre des comptes, ni d'en exiger, ni de batailler avec de maudits intendants, ni d'être tiraillé par tant de soucis. Quand tu as terminé une savate et reçu tes sept oboles, tu sors au coucher du soleil, et s'il t'en prend envie, tu vas au bain. Tu achètes des anchois, des goujons ou quelques têtes d'oignons ; tu te donnes du bon temps, tu chantes presque toujours et tu philosophes avec l'heureuse pauvreté. **23.** Ainsi, grâce à ce régime, tu te portes à merveille, tu es robuste et impénétrable au froid ; la fatigue qui te tient en haleine, te met en état de résister avec vigueur à ce que d'autres croient au-dessus de leurs forces. Aucune

τὰς οὐσίας·	leurs biens ;
οὔτε δὲ αὐτὸς δέδιας	et ni toi-même tu *ne* crains
συκοφάντην	un sycophante
οὔτε ληστὴν	ni un voleur
μὴ ὑφέληται	de-peur-qu'il ne dérobe
τὸ χρυσίον	ton or
ὑπερβὰς τὸ θριγκίον	ayant-escaladé le mur
ἢ διορύξας τὸν τοῖχον,	ou ayant percé la muraille,
οὔτε ἔχεις πράγματα	ni tu *n'*as d'embarras
λογιζόμενος ἢ ἀπαιτῶν,	comptant ou réclamant (de l'argent),
ἢ διαπυκτεύων	ou faisant-le-coup-de-poing
τοῖς καταράτοις οἰκονό-[μοις	*avec* les maudits intendants
καὶ διαμεριζόμενος	et partagé
πρὸς τοσαύτας φροντίδας·	vers (entre) tant de soucis ;
ἀλλὰ συντελέσας κρηπῖδα	mais ayant-achevé une chaussure
ἔχων τὸν μισθὸν	ayant ton salaire
ἑπτὰ ὀβολούς,	*à savoir* sept oboles,
ἀπαναστὰς	t'étant-levé
περὶ δείλην ὀψίαν,	vers l'après-midi avancée (le soir),
λουσάμενος,	*t'*étant baigné,
ἢν δοκῇ,	s'il te paraît-bon,
πριάμενος σαπέρδην τινὰ	ayant-acheté quelque saumure
ἢ μαινίδας ἢ ὀλίγας	ou des mendoles ou quelques
κεφαλίδας κρομμύων,	têtes d'oignons,
εὐφραίνεις σεαυτόν,	tu réjouis toi-même,
ᾄδων τὰ πολλὰ	chantant la plupart *du temps*
καὶ προσφιλοσοφῶν	et philosophant-avec
τῇ βελτίστῃ πενίᾳ.	l'excellente pauvreté.
23. Ὥστε διὰ ταῦτα	**23.** Ainsi grâce à ces *choses* (ce régime)
ὑγιαίνεις τε καὶ ἔρρωσαι	tu te-portes-bien et tu t'es-fortifié
τὸ σῶμα	*quant* au corps
καὶ διακαρτερεῖς	et tu t'endurcis
πρὸς τὸ κρύος·	contre le froid ;
οἱ γὰρ πόνοι	en effet les fatigues
παραθήγοντές σε	t'aiguillonnant
ἀποφαίνουσι	*te* montrent (rendent)
ἀνταγωνιστὴν	un adversaire
οὐκ εὐκαταφρόνητον	non méprisable
πρὸς τὰ δοκοῦντα	en-face des *choses* paraissant

τα τοῖς ἄλλοις ἄμαχα εἶναι. Ἀμέλει οὐδέν σοι τῶν χαλεπῶν τούτων νοσημάτων ἐπιβουλεύει, ἀλλ᾽ ἤν ποτε κοῦφος πυρετὸς ἐπιλάβηται, πρὸς ὀλίγον ὑπηρετήσας αὐτῷ, ἀνεπήδησας εὐθὺς ἀποσεισάμενος τῇ ἀσιτίᾳ τὴν ἄσην, ὁ δὲ φεύγει αὐτίκα φοβηθείς σε, ψυχροῦ τε ὁρῶν ἐμφορούμενον καὶ μακρὰ οἰμώζειν λέγοντα ταῖς ἰατρικαῖς περιόδοις· οἱ δὲ ὑπ᾽ ἀκρασίας ἄθλιοι τί τῶν κακῶν οὐκ ἔχουσι, ποδάγρας καὶ φθόας καὶ περιπνευμονίας καὶ ὑδέρους ; ταῦτα γὰρ τῶν πολυτελῶν ἐκείνων δείπνων ἀπόγονα. Τοιγαροῦν οἱ μὲν αὐτῶν ὥσπερ ὁ Ἴκαρος ἐπὶ πολὺ ἄραντες αὑτοὺς καὶ πλησιάσαντες τῷ ἡλίῳ, οὐκ εἰ-

de ces graves maladies ne te guette. S’il te survient un léger accès de fièvre, tu lui cèdes quelques instants, bientôt tu la secoues et t’en débarrasses par la diète. La fièvre s’enfuit sur-le-champ, effrayée à la vue d’un malade qui se gorge d’eau froide et envoie promener les médecins avec leurs visites fréquentes. Les riches, au contraire, victimes de leur intempérance, que de maux ne souffrent-ils pas ? goutte, phthisie, pulmonie, hydropisie ! car voilà les suites de leurs magnifiques repas. Aussi ceux d’entre eux qui, semblables à Icare, ont pris un essor trop élevé et se sont approchés du soleil sans sa-

τοῖς ἄλλοις	aux autres
εἶναι ἄμαχα.	être impossibles-à-combattre.
Οὐδὲν	Aucune
τῶν τούτων νοσημάτων	de ces maladies
χαλεπῶν	graves
ἐπιβουλεύει σοι	*ne* tend-des-pièges à toi
ἀμέλει,	sûrement,
ἀλλὰ ἤν ποτε	mais si jamais
κοῦφος πυρετὸς	une fièvre légère
ἐπιλάβηται,	se-saisit-de *toi,*
ὑπηρετήσας αὐτῷ	ayant-obéi à elle
πρὸς ὀλίγον,	pour peu *de temps,*
ἀνεπήδησας εὐθύς	tu t’es-élancé (tu t’élances) aussitôt
ἀποσεισάμενος τὴν ἄσην	ayant-secoué-loin *de toi* l’ennui
τῇ ἀσιτίᾳ,	par la diète,
ὁ δὲ φεύγει σε	et celle-là (la fièvre) fuit toi
αὐτίκα	sur-le-champ
φοβηθεὶς	ayant craint
ὁρῶν τε ἐμφορούμενον	voyant *toi* te gorgeant
ψυχροῦ	d’*eau* froide
καὶ λέγοντα	et disant
ταῖς περιόδοις ἰατρικαῖς	aux tournées de médecins
οἰμώζειν μακρά·	*de* gémir longuement ;
οἱ δὲ	ceux-là au-contraire (les riches)
ἄθλιοι	malheureux
ὑπὸ ἀκρασίας	par intempérance
τί τῶν κακῶν οὐκ ἔχουσι,	lequel des maux n’ont-ils pas,
ποδάγρας καὶ φθόας	gouttes et phthisies
καὶ περιπνευμονίας	et péripneumonies
καὶ ὑδέρους ;	et hydropisies ?
ταῦτα γὰρ	car ces *choses sont*
ἀπόγονα	*les* descendants (les suites)
τῶν δείπνων ἐκείνων	de ces repas-là
πολυτελῶν.	magnifiques.
Τοιγαροῦν	C’est pourquoi
οἱ μὲν αὐτῶν	ceux-qui d’une-part parmi eux
ἄραντες αὑτοὺς	ayant élevés eux-mêmes
ἐπὶ πολὺ	à une grande *hauteur*
καὶ πλησιάσαντες τῷ ἡλίῳ	et s’étant approchés du soleil
ὥσπερ ὁ Ἴκαρος,	comme Icare,
οὐκ εἰδότες	ne sachant pas

δότες ὅτι κηρῷ ἥρμοστο αὐτοῖς ἡ πτέρωσις, μέγαν ἐνίοτε τὸν πάταγον ἐποίησαν ἐπὶ κεφαλὴν ἐς πέλαγος ἐμπεσόντες· ὅσοι δὲ κατὰ τὸν Δαίδαλον μὴ πάνυ μετέωρα μηδὲ ὑψηλὰ ἐφρόνησαν, ἀλλὰ πρόσγεια, ὡς νοτίζεσθαι ἐνίοτε τῇ ἅλμῃ τὸν κηρόν, ὡς τὸ πολὺ οὗτοι ἀσφαλῶς διέπτησαν. — **ΜΙΚ.** Ἐπιεικεῖς τινας καὶ συνετοὺς λέγεις. — **ΑΛΕΚ.** Τῶν μέντοι γε ἄλλων, ὦ Μίκυλλε, τὰ ναυάγια πάνυ αἰσχρὰ ἴδοις ἄν, ὅταν ὁ Κροῖσος περιτετιλμένος τὰ πτερά, γέλωτα παρέχῃ Πέρσαις ἀναβαίνων ἐπὶ τὸ πῦρ ἢ Διονύσιος[1], καταδύσης τῆς τυραννίδος, ἐν Κορίνθῳ γραμματιστὴς βλέπηται μετὰ τηλικαύτην ἀρχὴν παιδία συλλαβίζειν διδάσκων. **24.** — **ΜΙΚ.** Εἰπέ μοι, ὦ ἀλεκτρυών, σὺ δὲ ὁπότε βασιλεὺς ἦσθα (φῂς γὰρ καὶ βασι-

voir que leurs ailes n'étaient attachées qu'avec de la cire, sont tombés avec fracas dans la mer. Ceux, au contraire, qui, à l'exemple de Dédale, n'ont point des visées si hautes ni si hardies, mais rasent la surface des flots, afin de tenir la cire de leurs ailes dans une humidité convenable, ceux-là volent en général sans danger. — MIC. Ah ! voilà des gens sages et raisonnables. — LE COQ. Tu peux encore, Micylle, t'instruire d'après les honteux naufrages de plusieurs autres. Ici, c'est Crésus dépouillé de ses ailes, montant sur le bûcher, et prêtant à rire aux Perses. Là, c'est Denys détrôné qui montre à lire dans Corinthe, et qui, après avoir exercé un si grand pouvoir, fait épeler de petits enfants. **24.** — MIC. Dis-moi, mon coq, et toi, lorsque tu étais roi, car tu me dis l'avoir été, comment

ὅτι ἡ πτέρωσις	que le plumage
ἥρμοστο αὐτοῖς	avait été-adapté à eux
κηρῷ,	avec de la cire,
ἐποίησαν ἐνίοτε	ont fait (font) parfois
τὸν πάταγον μέγαν	le fracas grand,
ἐμπεσόντες ἐς πέλαγος	étant-tombés dans *la* mer
ἐπὶ κεφαλήν·	sur *la* tête ;
ὅσοι δὲ	tous-ceux-qui d'autre-part
κατὰ τὸν Δαίδαλον	suivant Dédale
μὴ ἐφρόνησαν	n'ont pas pensé
πάνυ μετέωρα	des *choses* tout-à-fait hautes
μηδὲ ὑψηλά,	ni sublimes,
ἀλλὰ πρόσγεια,	mais voisines de la terre,
ὡς τὸν κηρὸν	en-sorte-que la cire
νοτίζεσθαι	être-mouillée
τῇ ἅλμῃ	par l'eau-de-mer
ἐνίοτε,	quelquefois,
οὗτοι ὡς τὸ πολὺ	ceux-ci la plupart *du temps*
διέπτησαν ἀσφαλῶς.	ont-volé-(volent)-jusqu'au-bout sûrement.
ΜΙΚ. Λέγεις τινὰς	MIC. Tu dis quelques-uns
ἐπιεικεῖς καὶ συνετούς.	modérés et prudents.
ΑΛΕΚ. Ὦ Μίκυλλε, ἴδοις ἂν	LE COQ. Ô Micylle, tu verrais
μέντοι γε	au contraire certes
τὰ ναυάγια πάνυ αἰσχρὰ	les naufrages tout-à-fait honteux
τῶν ἄλλων,	des autres,
ὅταν ὁ Κροῖσος	*à savoir* lorsque Crésus
περιτετιλμένος τὰ πτερά,	ayant été épilé *quant à* ses ailes,
παρέχῃ Πέρσαις	procure aux Perses
γέλωτα	du rire (un sujet de rire)
ἀναβαίνων ἐπὶ τὸ πῦρ	montant sur le bûcher,
ἢ Διονύσιος,	ou *quand* Denys,
τῆς τυραννίδος καταδύσης,	sa royauté ayant-coulé-à-fond,
βλέπηται ἐν Κορίνθῳ	est-vu à Corinthe
γραμματιστὴς	maître d'école
μετὰ τηλικαύτην ἀρχὴν	après un pouvoir si grand
διδάσκων παιδία	apprenant à de petits-enfants
συλλαβίζειν.	à épeler-les-syllabes.
24. ΜΙΚ. Εἰπέ μοι,	**24.** MIC. Dis-moi,
ὦ ἀλεκτρυών,	ô coq,
σὺ δὲ ὁπότε ἦσθα βασιλεύς	et toi lorsque tu étais roi
(φῂς γὰρ	(car tu déclares
καὶ βασιλεῦσαί ποτε)	avoir-été-roi aussi autrefois)

λεῦσαί ποτε) ποίου τότ᾽ ἐπειράθης τοῦ βίου ἐκείνου; Ἦ που πανευδαίμων ἦσθα, τὸ κεφάλαιον ὅ τι πέρ ἐστι τῶν ἀγαθῶν ἁπάντων ἔχων; — **ΑΛΕΚ.** Μηδὲ ἀναμνήσῃς με, ὦ Μίκυλλε, οὕτω τρισάθλιος ἦν τότε, τοῖς μὲν ἔξω πᾶσιν, ὅπερ ἔφησθα, πανευδαίμων εἶναι δοκῶν, ἔνδοθεν δὲ μυρίαις ἀνίαις ξυνών. — **ΜΙΚ.** Τίσι ταύταις; παράδοξα γὰρ καὶ οὐ πάνυ τι πιστὰ φῄς. — **ΑΛΕΚ.** Ἦρχον μὲν οὐκ ὀλίγης χώρας, ὦ Μίκυλλε, παμφόρου τινὸς καὶ πλήθει ἀνθρώπων καὶ κάλλει πόλεων ἐν ταῖς μάλιστα θαυμάζεσθαι ἀξίας, ποταμοῖς τε ναυσιπόροις καταρρεομένης καὶ θαλάττῃ εὐόρμῳ χρωμένης· καὶ στρατιὰ ἦν πολλὴ καὶ ἵππος συγκεκροτημένη καὶ δορυφορικὸν οὐκ ὀλί-

te trouvais-tu de ce genre de vie ? Sans doute que, possédant le plus grand de tous les biens, tu étais au comble de la félicité ?— LE COQ. Ne me le rappelle même pas, Micylle, tant j'étais malheureux alors ! Il est vrai qu'au dehors, comme tu le disais à l'instant, rien ne semblait manquer à mon bonheur, mais au dedans j'étais en proie à mille ennuis. — MIC. Comment ! voilà une chose bien étrange et bien difficile à croire. — LE COQ. Je régnais, il est vrai, Micylle, sur un vaste pays fertile en productions de toute espèce, admirable par la multitude de ses habitants, par la beauté de ses villes, arrosé de fleuves navigables, baigné par une mer munie de bons ports. J'avais infanterie considérable, cavalerie bien disciplinée, garde nombreuse, galères, richesses immenses, quantité de

ποίου	quelle (comment)
τότε ἐπειράθης	as-tu éprouvé (trouvé) alors
τοῦ βίου ἐκείνου;	cette vie-là ?
Ἦ που	Est-ce-que en-quelque-manière
ἦσθα πανευδαίμων,	tu étais tout-à-fait-heureux,
ἔχων ὅ τι πέρ ἐστι	ayant ce qui est
τὸ κεφάλαιον	le point-culminant
τῶν ἁπάντων ἀγαθῶν;	de tous les biens ?
ΑΛΕΚ. Μηδέ με	LE COQ. Ne me *fais* pas même
ἀναμνήσῃς,	souvenir de *cela,*
ὦ Μίκυλλε,	ô Micylle,
οὕτω τότε	tellement alors
ἦν τρισάθλιος,	j'étais trois-fois-malheureux,
δοκῶν πᾶσιν εἶναι	paraissant à tous être
ὅπερ ἔφησθα,	ce-que tu disais,
πανευδαίμων	*à savoir* tout-à-fait-heureux
τοῖς	par les *choses*
ἔξω μέν,	du-dehors d'une-part,
ἔνδοθεν δὲ	au-dedans d'autre-part
ξυνὼν	vivant-avec
ἀνίαις μυρίαις.	des chagrins nombreux.
ΜΙΚ. Τίσι ταύταις;	MIC. Quels ces *chagrins ?*
φῄς γὰρ	car tu dis
παράδοξα	des *choses* contre l'apparence
καὶ οὐ πάνυ τι πιστά.	et pas du tout croyables.
ΑΛΕΚ. Ἦρχον μέν,	LE COQ. Je régnais, il est vrai,
ὦ Μίκυλλε,	ô Micylle,
χώρας οὐκ ὀλίγης,	sur un pays non petit,
παμφόρου τινὸς	un certain *pays* produisant-tout
καὶ ἀξίας θαυμάζεσθαι	et digne d'être-admiré
πλήθει ἀνθρώπων	par *la* multitude d'habitants
καὶ κάλλει πόλεων	et par *la* beauté des villes
ἐν ταῖς μάλιστα,	parmi les plus *dignes,*
καταρρεομένης τε	et arrosé d'un-bout-à-l'autre
ποταμοῖς ναυσιπόροις	par des fleuves navigables
καὶ χρωμένης	et jouissant
θαλάττῃ εὐόρμῳ·	d'une mer aux-bons-ports ;
καὶ στρατιὰ πολλὴ	et une armée nombreuse
ἦν	était *à moi*
καὶ ἵππος συγκεκροτημένη	et une cavalerie exercée-ensemble
καὶ δορυφορικὸν	et un *corps* de-porteurs-de-lances
οὐκ ὀλίγον	non en-petit-nombre

γον καὶ τριήρεις καὶ χρημάτων πλῆθος ἀνάριθμον καὶ χρυσὸς ὁ κοῖλος πάμπολυς καὶ ἡ ἄλλη τῆς ἀρχῆς τραγῳδία πᾶσα ἐς ὑπερβολὴν ἐξωγκωμένη, ὥστε ὁπότε προΐοιμι, οἱ μὲν πολλοὶ προσεκύνουν καὶ θεόν τινα ὁρᾶν ᾤοντο καὶ ἄλλοι ἐπ᾽ ἄλλοις ξυνέθεον ὀψόμενοί με, οἱ δὲ καὶ ἐπὶ τὰ τέγη ἀνιόντες ἐν μεγάλῳ ἐτίθεντο ἀκριβῶς ἑορακέναι τὸ ζεῦγος, τὴν ἐφεστρίδα, τὸ διάδημα, τοὺς προπομπεύοντας, τοὺς ἑπομένους. Ἐγὼ δὲ εἰδὼς ὁπόσα με ἠνία καὶ ἔστρεφεν, ἐκείνοις μὲν τῆς ἀγνοίας συνεγίνωσκον, ἐμαυτὸν δὲ ἠλέουν ὅμοιον ὄντα τοῖς μεγάλοις τούτοις κολοσσοῖς, οἵους ἢ Φειδίας ἢ Μύρων ἢ Πραξιτέλης [1] ἐποίησαν. Κἀκείνων γὰρ ἕκαστος ἔκτοσθεν μὲν Ποσειδῶν τις ἢ Ζεύς ἐστι πάγκαλος, ἐκ χρυσίου καὶ ἐλέφαντος ξυνειργασ-

vaisselle d'or, enfin tout ce que la mise en scène royale a de plus imposant et de plus majestueux. Aussi, dès que je paraissais en public, mes peuples se prosternaient devant moi, croyant voir une divinité. Les uns accouraient en foule et se poussaient pour me voir ; les autres, montés sur les toits, regardaient comme un grand honneur d'avoir bien vu mon attelage, mon manteau royal, mon diadème, mon avant et mon arrière-garde. Et moi, qui connaissais tous mes chagrins et mes tourments, j'excusais leur ignorance en plaignant ma misère. Je me comparais à ces colosses, chefs-d'œuvre de Phidias, de Myron ou de Praxitèle. Au dehors, c'est un Poséidon ou un Zeus magnifique, tout d'or et d'ivoire, tenant de la main

καὶ τριήρεις	et des trières
καὶ πλῆθος ἀνάριθμον	et une multitude innombrable
χρημάτων,	de richesses,
καὶ ὁ χρυσὸς κοῖλος	et l'or creux (des récipients)
πάμπολυς	très-abondant
καὶ ἡ ἄλλη τραγῳδία	et le reste de la mise-en-scène
τῆς ἀρχῆς	du pouvoir
πᾶσα ἐξωγκωμένη	toute entière enflée (pompeuse)
ἐς ὑπερβολήν,	jusqu'à l'excès,
ὥστε ὁπότε προΐοιμι,	de-sorte-que quand je m'avançais,
οἱ μὲν πολλοὶ	les nombreux (le vulgaire) d'une part
προσεκύνουν	se prosternaient
καὶ ᾤοντο	et croyaient
ὁρᾶν θεόν τινα	voir un dieu
καὶ ξυνέθεον	et couraient-ensemble
ἄλλοι ἐπὶ ἄλλοις	les-uns sur les-autres
ὀψόμενοί με,	devant-voir moi,
οἱ δὲ καὶ ἀνιόντες	d'autres même étant-montés
ἐπὶ τὰ τέγη	sur les toits
ἐτίθεντο ἐν μεγάλῳ	regardaient-comme *une chose* importante
ἑορακέναι ἀκριβῶς	d'avoir-vu exactement
τὸ ζεῦγος, τὴν ἐφεστρίδα,	mon attelage, mon manteau,
τὸ διάδημα,	mon diadème,
τοὺς προπομπεύοντας,	ceux *m'*escortant-en-avant,
τοὺς ἑπομένους.	ceux *me* suivant.
Ἐγὼ δὲ εἰδὼς	Pour moi sachant
ὁπόσα με ἠνία	combien *de choses* me chagrinaient
καὶ ἔστρεφεν,	et me tourmentaient,
συνεγίνωσκον μὲν ἐκείνοις	je pardonnais d'une-part à ceux-là
τῆς ἀγνοίας,	pour leur ignorance,
ἠλέουν δὲ ἐμαυτὸν	et j'avais-pitié-de moi-même
ὄντα ὅμοιον	étant semblable
τοῖς μεγάλοις τούτοις κο-	à ces grands colosses,
οἵους ἢ Φειδίας [λοσσοῖς,	tels-que ou Phidias
ἢ Μύρων ἢ Πραξιτέλης	ou Myron ou Praxitèle
ἐποίησαν.	*les* ont faits.
Ἕκαστος γὰρ	En effet chacun
καὶ ἐκείνων	de ces *colosses* aussi
ἔκτοσθεν μέν	au-dehors à la vérité
ἐστι Ποσειδῶν τις	est quelque Poséidon
ἢ Ζεὺς πάγκαλος,	ou *quelque* Zeus tout-à-fait-beau,
ξυνειργασμένος	fait
ἐκ χρυσίου καὶ ἐλέφαντος,	d'or et *d'*ivoire,

μένος, κεραυνὸν ἢ ἀστραπὴν ἢ τρίαιναν ἔχων ἐν τῇ δεξιᾷ· ἢν δὲ ὑποκύψας ἴδῃς τὰ γ᾽ ἔνδον, ὄψει μοχλούς τινας καὶ γόμφους καὶ ἥλους διαμπὰξ διαπεπερονημένους καὶ κορμοὺς καὶ σφῆνας καὶ πίτταν καὶ πηλὸν καὶ πολλήν τινα τοιαύτην ἀμορφίαν ὑποικουροῦσαν· ἐῶ λέγειν μυῶν πλῆθος ἢ μυγαλῶν ἐμπολιτευόμενον αὐτοῖς ἐνίοτε. Τοιοῦτόν τι καὶ βασιλεία ἐστίν.

25. — ΜΙΚ. Οὐδέπω ἔφησθα τὸν πηλὸν καὶ τοὺς μοχλοὺς καὶ γόμφους οἵτινες τῆς ἀρχῆς οὐδὲ τὴν ἀμορφίαν ἐκείνην τὴν πολλὴν ἥτις ἐστίν· ὡς τό γε ἐξελαύνειν ἀποβλεπόμενον καὶ τοσούτων ἄρχοντα καὶ προσκυνούμενον δαιμονίως ἔοικέ σου τῷ κολοσσιαίῳ παραδείγματι· θεσπέσιον γάρ τι καὶ τοῦτο. Σὺ δὲ τὰ ἔνδον ἤδη τοῦ κολοσσοῦ λέγε. — ΑΛΕΚ. Τί

droite la foudre ou l'éclair, ou un trident ; mais si tu te penches pour regarder l'intérieur, tu verras des leviers, des coins, des clous qui traversent la machine de part en part, des chevilles, de la poix, de l'argile et d'autres choses aussi choquantes à la vue, sans parler encore d'une infinité de mouches ou de musaraignes, qui y établissent leur république. Telle est à peu près la royauté. **25.** — MIC. Mais cela ne me dit pas encore ce que tu entends par cette argile, ces clous, ces leviers, et cet amas d'objets difformes que tu prétends voir dans la royauté ; car enfin, paraître en public, attirer tous les regards, régner sur tant de sujets, être adoré comme un dieu, tout cela ressemble merveilleusement à l'extérieur du colosse, et offre même quelque chose de divin. Dis-moi donc à présent quel est l'intérieur de ce colosse. — LE COQ. Par où commencer ? Te

ἔχων ἐν τῇ δεξιᾷ	ayant dans la *main* droite
κεραυνὸν ἢ ἀστραπὴν	un foudre ou un éclair
ἢ τρίαιναν·	ou un trident ;
ἢν δὲ ὑποκύψας	mais si t'étant-courbé
ἴδῃς τά γε ἔνδον,	tu regardes les *choses* certes au-dedans,
ὄψει μοχλούς τινας	tu verras certains leviers
καὶ γόμφους καὶ ἥλους	et coins et clous
διαπεπερονημένους	attachés-au-travers
διαμπὰξ	de part-en-part
καὶ κορμοὺς καὶ σφῆνας	et des chevilles et des coins
καὶ πίτταν καὶ πηλὸν	et de la poix et de l'argile
καὶ πολλήν τινα	et une nombreuse
ἀμορφίαν τοιαύτην	difformité telle
ὑποικουροῦσαν·	enfermée-dessous ;
ἐῶ λέγειν	j'omets *de* parler
πλῆθος μυῶν	*d'*une multitude de mouches
ἢ μυγαλῶν	ou de musaraignes
ἐμπολιτευόμενον αὐτοῖς	habitant-dans eux
ἐνίοτε.	quelquefois.
Καὶ βασιλεία ἐστὶ	*La* royauté aussi est
τοιοῦτόν τι.	quelque-chose de tel.
25. ΜΙΚ. Οὐδέπω ἔφησθα	**25.** MIC. Tu ne *m'*as pas encore dit
τὸν πηλὸν	l'argile
καὶ τοὺς μοχλοὺς	et les leviers
καὶ γόμφους τῆς ἀρχῆς	et les coins du pouvoir
οἵτινες	quels *ils sont*
οὐδὲ τὴν ἀμορφίαν ἐκείνην	ni cette difformité-là
τὴν πολλήν, ἥτις ἐστίν·	la grande, quelle elle est ;
ὡς τό γε ἐξελαύνειν	car le *fait* du moins *de* s'avancer
ἀποβλεπόμενον	contemplé
καὶ ἄρχοντα	et commandant-à
τοσούτων,	tant d'*hommes,*
καὶ προσκυνούμενον	et adoré
ἔοικε δαιμονίως	ressemble étrangement
τῷ κολοσσιαίῳ παραδείγ-	à l'exemple du-colosse
σου· [ματί	de toi (donné par toi) ;
καὶ γὰρ τοῦτο	et en effet cela
θεσπέσιόν τι.	*est* quelque-chose de divin.
Σὺ δὲ ἤδη	Mais toi à-présent
λέγε τὰ ἔνδον	dis les *choses* à-l'intérieur
τοῦ κολοσσοῦ.	du colosse.
ΑΛΕΚ. Τί εἴπω σοι	LE COQ. Que *faut-il* que-je te dise

πρῶτον εἴπω σοι, ὦ Μίκυλλε; τοὺς φόβους καὶ τὰ δείματα καὶ ὑποψίας καὶ μῖσος τὸ παρὰ τῶν συνόντων καὶ ἐπιβουλάς, καὶ διὰ ταῦτα ὕπνον τε ὀλίγον, ἐπιπόλαιον κἀκεῖνον, καὶ ταραχῆς μεστὰ ὀνείρατα καὶ ἐννοίας πολυπλόκους καὶ ἐλπίδας ἀεὶ πονηράς, ἢ τὴν ἀσχολίαν καὶ χρηματισμοὺς καὶ δίκας καὶ ἐκστρατείας καὶ προστάγματα καὶ συνθήματα καὶ λογισμούς; ὑφ᾽ ὧν οὐδὲ ὄναρ ἀπολαῦσαί τινος ἡδέος ἐγγίνεται, ἀλλ᾽ ἀνάγκη ὑπὲρ ἁπάντων μόνον διασκοπεῖσθαι καὶ μυρία ἔχειν πράγματα· οὐδὲ γὰρ Ἀτρείδην Ἀγαμέμνονα

ὕπνος ἔχε γλυκερὸς πολλὰ φρεσὶν ὁρμαίνοντα, [1]

καὶ ταῦτα ῥεγκόντων Ἀχαιῶν ἁπάντων. Λυπεῖ δὲ τὸν μὲν Λυδὸν ὁ υἱὸς κωφὸς ὤν, τὸν Πέρσην [2] δὲ Κλέαρχος [3] Κύρῳ

peindrai-je, Micylle, les rois en proie aux craintes, aux alarmes, aux soupçons, à la haine et aux embûches de ceux qui les approchent ? De là un sommeil court et encore superficiel, des rêves pleins de troubles, des pensées qui se combattent, des attentes toujours fâcheuses. Te dirai-je qu'ils n'ont pas un instant de loisir, et qu'ils doivent s'occuper des délibérations, des procès, des expéditions, donner des ordres, signer des traités, faire des calculs incessants ? Par suite, ils ne goûtent aucun plaisir, pas même en songe, il leur faut réfléchir seuls pour tous, et traiter des milliers d'affaires. Le fils d'Atrée, Agamemnon

Ne goûtait pas non plus les douceurs du sommeil :
Mille soucis divers le tenaient en éveil,

tandis que tous les Grecs ronflaient à ses côtés. Ici c'est le roi de Lydie qu'afflige le mutisme de son fils, là le roi de Perse inquiet des mercenaires que Cléarque recrute pour Cyrus ; Dion s'entretenant

πρῶτον,	d'abord,
ὦ Μίκυλλε ;	ô Micylle ?
τοὺς φόβους καὶ τὰ δείμα-	les craintes et les terreurs
καὶ ὑποψίας [τα	et *les* soupçons
καὶ μῖσος	et *la* haine
τὸ παρὰ	celle de la part
τῶν συνόντων	de ceux vivant-avec *les rois*
καὶ ἐπιβουλάς,	et les pièges,
καὶ διὰ ταῦτα	et à-cause-de ces *choses*
ὕπνον τε ὀλίγον	et un sommeil court
καὶ ἐκεῖνον ἐπιπόλαιον,	et celui-là superficiel,
καὶ ὀνείρατα	et des rêves
μεστὰ ταραχῆς	mêlés de trouble
καὶ ἐννοίας πολυπλόκους	et des pensées entrelacées
καὶ ἐλπίδας	et des attentes
ἀεὶ πονηράς,	toujours fâcheuses,
ἢ τὴν ἀσχολίαν	ou le manque-de-loisirs
καὶ χρηματισμοὺς	et des délibérations
καὶ δίκας	et des procès
καὶ ἐκστρατείας	et des expéditions
καὶ προστάγματα	et des ordres *à donner*
καὶ συνθήματα	et des contrats *à passer*
καὶ λογισμούς ;	et des calculs *à faire ?*
ὑπὸ ὧν	*choses* par-suite desquelles
ἐγγίνεται ἀπολαῦσαι	il *n'*est possible de goûter
οὐδὲ ὄναρ	pas-même *en* songe
ἡδέος τινός,	quelque-chose d'agréable,
ἀλλὰ ἀνάγκη	mais *il y a* nécessité
διασκοπεῖσθαι μόνον	*de* réfléchir seul
ὑπὲρ ἁπάντων	pour tous
καὶ ἔχειν	et *d'*avoir
πράγματα μυρία·	des affaires en-grand-nombre :
ὕπνος γὰρ γλυκερὸς	car un sommeil doux
ἔχει οὐδὲ	ne possédait pas non plus
Ἀγαμέμνονα Ἀτρείδην	Agamemnon fils-d'Atrée
ὁρμαίνοντα πολλὰ φρεσίν,	agitant des *pensées* nombreuses dans *son* es-
καὶ ταῦτα Ἀχαιῶν	et cela *les* Grecs [prit,
ῥεγκόντων ἁπάντων.	ronflant tous-ensemble.
Ὁ δὲ υἱὸς ὢν κωφὸς	D'autre-part le fils étant muet
λυπεῖ μὲν τὸν Λυδόν,	afflige d'une-part le Lydien,
Κλέαρχος δὲ	Cléarque d'autre-part
ξενολογῶν Κύρῳ	levant-des-mercenaires pour Cyrus
τὸν Πέρσην,	*afflige* le Perse,

ξενολογῶν, ἄλλον δὲ **Δίων** [1] πρὸς τὸ οὖς τισι τῶν **Συρακοσίων** κοινολογούμενος, καὶ **Ἀλέξανδρον Παρμενίων** [2] ἐπαινούμενος καὶ **Περδίκκαν** [3] **Πτολεμαῖος** καὶ **Πτολεμαῖον Σέλευκος** [4]· ἀλλὰ κἀκεῖνα λυπεῖ, ὁ ἐρώμενος πρὸς ἀνάγκην ξυνὼν καὶ παλλακὶς ἄλλῳ χαίρουσα καὶ ἀποστήσεσθαί τινες λεγόμενοι καὶ δύ᾽ ἢ τέτταρες τῶν δορυφόρων πρὸς ἀλλήλους διαψιθυρίζοντες. Τὸ δὲ μέγιστον, ὑφορᾶσθαι δεῖ τοὺς φιλτάτους μάλιστα κἀξ ἐκείνων ἀεί τι δεινὸν ἥξειν ἐλπίζειν. Ἐγὼ γοῦν ὑπὸ τοῦ παιδὸς ἀπέθανον ἐκ φαρμάκων, ὁ δὲ καὶ αὐτὸς ὑπὸ τοῦ ἐρωμένου, τὸν δὲ ἄλλος ἴσως ὁμοιότροπος θάνατος κατέλαβεν. **26.** — ΜΙΚ. Ἄπαγε, δεινὰ ταῦτα φῄς, ὦ ἀλεκτρυών. Ἐμοὶ δ᾽ οὖν πολὺ ἀσφαλέστερον σκυτοτομεῖν

en secret avec quelques Syracusains, afflige celui-ci ; les éloges dont on comble Parménion mortifient Alexandre ; Ptolémée inquiète Perdiccas, Séleucus inquiète Ptolémée. Ce n'est pas tout : le favori ne se donne qu'avec répugnance, sa maîtresse lui est infidèle, apprennent-ils que quelques-uns de leurs sujets doivent se révolter, voient-ils deux ou trois de leurs gardes chuchoter entre eux, voilà encore un sujet d'affliction. Mais le plus grave de tout pour eux, c'est d'avoir à se défier surtout de leurs plus chers favoris et de s'attendre toujours à quelque perfidie de leur part. Moi, par exemple, j'ai été empoisonné par mon fils, lui-même par l'objet de sa passion, et ce dernier périt d'une mort à peu près pareille. **26.** — MIC. Fi donc ! tu me dis là des choses effrayantes, mon coq. Je suis donc bien plus en sûreté, courbé sur mon ouvrage et taillant mon

Δίων δὲ	et Dion
κοινολογούμενός τισι	parlant avec quelques-uns
τῶν Συρακοσίων	des Syracusains
πρὸς τὸ οὖς ἄλλον,	à l'oreille *afflige* un autre,
καὶ Παρμενίων	et Parménion
ἐπαινούμενος	loué
Ἀλέξανδρον [καν	*afflige* Alexandre
καὶ Πτολεμαῖος Περδίκ-	et Ptolémée *afflige* Perdiccas
καὶ Σέλευκος Πτολεμαῖον·	et Séleucus *afflige* Ptolémée ;
ἀλλὰ καὶ ἐκεῖνα λυπεῖ,	mais encore ces *choses les* affligent,
ὁ ἐρώμενος	*à savoir* l'homme aimé
ξυνὼν πρὸς ἀνάγκην	s'unissant par nécessité
καὶ παλλακὶς χαίρουσα	et une concubine mettant-son-plaisir
ἄλλῳ	dans un autre
καί τινες λεγόμενοι	et quelques-uns étant-dits
ἀποστήσεσθαι	devoir-faire-défection
καὶ δύο ἢ τέτταρες	et deux ou quatre
τῶν δορυφόρων	des satellites
διαψιθυρίζοντες πρὸς ἀλ-	chuchotant les-uns-aux autres.
Τὸ δὲ μέγιστον [λήλους.	Mais le plus grave *est que*
δεῖ ὑφορᾶσθαι	il faut soupçonner
τοὺς φιλτάτους μάλιστα	les plus-chers surtout,
καὶ ἐλπίζειν ἀεὶ	et attendre toujours
δεινόν τι	quelque-chose *de* terrible
ἥξειν ἐξ ἐκείνων.	devoir-venir de ceux-là.
Ἐγὼ γοῦν	Moi par-exemple
ἀπέθανον ἐκ φαρμάκων	j'ai été tué sous-l'effet-des poisons
ὑπὸ τοῦ παιδός,	par *mon* fils,
ὁ δὲ καὶ αὐτὸς	celui-ci lui-même
ὑπὸ τοῦ ἐρωμένου,	par *son* favori,
τὸν δὲ	celui-là
ἄλλος θάνατος	une autre mort
ἴσως ὁμοιότροπος	probablement semblable
κατέλαβεν.	a emporté.
26. ΜΙΚ. Ἄπαγε,	**26.** MIC. Assez !
ὦ ἀλεκτρυών,	ô coq,
φῄς ταῦτα δεινά.	tu dis ces *choses* effrayantes.
Ἐμοὶ δὲ οὖν	Pour moi donc
πολὺ ἀσφαλέστερον	*il est* beaucoup plus sûr
σκυτοτομεῖν	de couper-le-cuir
ἐπικεκυφότα	penchant-la-tête-sur *l'ouvrage*

ἐπικεκυφότα ἢ πίνειν ἀπὸ χρυσῆς φιάλης κωνείῳ ἢ ἀκονίτῳ συνανακραθεῖσαν φιλοτησίαν· ὁ γοῦν κίνδυνος ἐμοὶ μέν, εἰ παρολίσθοι τὸ σμιλίον καὶ ἁμάρτοι τῆς τομῆς τῆς ἐπ᾽ εὐθύ, ὀλίγον τι αἱμάξαι τοὺς δακτύλους ἐντεμόντα· οἱ δέ, ὡς φῄς, θανάσιμα εὐωχοῦνται, καὶ ταῦτα μυρίοις κακοῖς ξυνόντες. Εἶτ᾽ ἐπειδὰν πέσωσιν, ὅμοιοι μάλιστα φαίνονται τοῖς τραγικοῖς ὑποκριταῖς, ὧν πολλοὺς ἰδεῖν ἔστιν τέως μὲν Κέκροπας δῆθεν ὄντας ἢ Σισύφους ἢ Τηλέφους, διαδήματ᾽ ἔχοντας καὶ ξίφη ἐλεφαντόκωπα καὶ ἐπίσειστον κόμην καὶ χλαμύδα χρυσόπαστον· ἢν δέ, οἷα πολλὰ γίγνεται, κενεμβατήσας τις αὐτῶν ἐν μέσῃ τῇ σκηνῇ καταπέσῃ, γέλωτα δηλαδὴ παρέχει

cuir, que si je buvais dans une coupe d'or de l'aconit et de la ciguë, présentés des mains de l'amitié ; car pour moi, tout le risque que je cours, si mon tranchet vient à glisser de travers, c'est de me piquer légèrement le doigt et de saigner. Les rois, au contraire, s'il faut t'en croire, font des festins de mort, et de plus vivent accablés de mille maux. Viennent-ils à être déchus de leur grandeur, ils ressemblent on ne peut mieux à des personnages de théâtre. Tant que ceux-ci représentent Cécrops, Sisyphe ou Télèphe, ils portent un diadème, une épée à garde d'ivoire, une chevelure flottante et une chlamyde tissue d'or ; mais ont-ils le malheur, ce qui n'est pas rare, de faire un faux pas et de tomber au milieu du théâtre, ils deviennent la risée des spectateurs : le masque et le diadème sont brisés, la véritable

ἢ πίνειν	que *de* boire
ἀπὸ φιάλης χρυσῆς	*en-puisant dans* une coupe d'or
φιλοτησίαν συνανακραθεῖ-	un toast mélangé
κωνείῳ ἢ ἀκονίτῳ· [σαν	avec de la ciguë ou de l'aconit ;
ὁ γοῦν κίνδυνος	le danger du moins
ἐμοὶ μέν,	pour moi d'une-part,
εἰ τὸ σμιλίον	si mon tranchet
παρολίσθοι	avait-glissé-de-travers
καὶ ἁμάρτοι τῆς τομῆς	et avait manqué la coupe
τῆς ἐπὶ εὐθύ,	celle en *ligne* droite,
αἱμάξαι ὀλίγον τι	*est* d'avoir ensanglanté quelque peu
τοὺς δακτύλους ἐντεμόντα·	mes doigts *les* ayant-entamés ;
οἱ δέ,	tandis qu'eux (les rois),
ὡς φῄς,	à-ce-que tu dis,
εὐωχοῦνται	font des régals
θανάσιμα,	mortels,
καὶ ταῦτα	et cela
ξυνόντες	vivant-avec
κακοῖς μυρίοις.	des maux très-nombreux.
Εἶτα ἐπειδὰν	Ensuite lorsque
πέσωσιν,	ils sont tombés,
φαίνονται	ils apparaissent
μάλιστα ὅμοιοι	surtout semblables
τοῖς τραγικοῖς ὑποκριταῖς,	aux acteurs tragiques,
ὧν ἔστιν ἰδεῖν	dont on peut voir
πολλοὺς	de nombreux
ὄντας δῆθεν	étant en-apparence
τέως μὲν	jusque-là d'une-part
Κέκροπας	des Cécrops
ἢ Σισύφους	ou des Sisyphes
ἢ Τηλέφους,	ou des Télèphes,
ἔχοντας διαδήματα	ayant des diadèmes
καὶ ξίφη ἐλεφαντόκωπα	et des épées à-garde-d'ivoire
καὶ κόμην ἐπίσειστον	et une chevelure flottante
καὶ χλαμύδα χρυσόπαστον·	et une chlamyde tissue-d'or ;
ἢν δέ τις αὐτῶν	mais si quelqu'un d'entre-eux
κενεμβατήσας,	ayant fait un faux pas,
οἷα γίγνεται πολλά,	comme il arrive souvent,
καταπέσῃ	est tombé
ἐν μέσῃ τῇ σκηνῇ,	au milieu de la scène,
δηλαδὴ	évidemment
παρέχει γέλωτα	il procure du rire
τοῖς θεαταῖς,	aux spectateurs,

τοῖς θεαταῖς, τοῦ προσωπείου μὲν συντριβέντος αὐτῷ διαδήματι, ᾑμαγμένης δὲ τῆς ἀληθοῦς κεφαλῆς τοῦ ὑποκριτοῦ καὶ τῶν σκελῶν ἐπὶ πολὺ γυμνουμένων ὡς τῆς τε ἐσθῆτος τὰ ἔνδοθεν φαίνεσθαι ῥάκια δύστηνα ὄντα καὶ τῶν κοθόρνων τὴν ὑπόδεσιν ἀμορφοτάτην καὶ οὐ κατὰ λόγον τοῦ ποδός. Ὁρᾷς ὅπως με καὶ εἰκάζειν ἐδιδάξω ἤδη, ὦ βέλτιστε ἀλεκτρυών ; Ἀλλὰ τυραννὶς μὲν τοιοῦτόν τι ὤφθη οὖσα· ἵππος δὲ ἢ κύων ἢ ἰχθὺς ἢ βάτραχος ὁπότε γένοιο, πῶς ἔφερες ἐκείνην τὴν διατριβήν ; 27. — ΑΛΕΚ. Μακρὸν τοῦτον ἀνακινεῖς τὸν λόγον καὶ οὐ τοῦ παρόντος καιροῦ· πλὴν τό γε κεφάλαιον, οὐδεὶς ὅστις οὐκ ἀπραγμονέστερος τῶν βίων ἔδοξέ μοι τοῦ ἀνθρωπείου, μόναις ταῖς φυσικαῖς ἐπιθυμίαις καὶ χρείαις

tête du comédien ensanglantée, ses jambes à nu en grande partie ; on ne voit plus que ses misérables haillons et son cothurne tout difforme et nullement proportionné à ses pieds. Vois-tu, mon coq, comme tu m'as aussi appris à faire des comparaisons ? Telle est à peu près l'idée que tu t'es formée de la royauté. Mais lorsque tu étais cheval, chien, poisson ou grenouille, comment te trouvais-tu de ces différents genres de vie ? 27. — LE COQ. Tu soulèves là une question aussi vaste qu'étrangère à la circonstance présente. Cependant, en somme, de toutes les conditions, celle de l'homme m'a paru la moins tranquille. Toutes les autres, en effet, se renferment dans les désirs et les besoins de la nature. Tu ne saurais

τοῦ προσωπείου μὲν	le masque d'une-part
συντριβέντος	ayant-été-brisé
διαδήματι αὐτῷ,	*avec* le diadème lui-même,
τῆς δὲ ἀληθοῦς κεφαλῆς	d'autre-part la véritable tête
τοῦ ὑποκριτοῦ	du comédien
ᾑμαγμένης	ayant-été-ensanglantée
καὶ τῶν σκελῶν	et ses jambes
γυμνουμένων ἐπὶ πολύ,	étant-mises-à-nu en grande *partie,*
ὥς τε τὰ ῥάκια	en-sorte-que et les haillons
ἔνδοθεν τῆς ἐσθῆτος	*cachés* en-dedans du vêtement
δύστηνα ὄντα	étant misérables
καὶ τὴν ὑπόδεσιν	et la ligature
τῶν κοθόρνων	des cothurnes
ἀμορφοτάτην	très laide
καὶ οὐ κατὰ λόγον	et non en-rapport-avec
τοῦ ποδὸς	le pied
φαίνεσθαι.	apparaître.
Ὁρᾷς ὅπως ἤδη	Vois-tu comme maintenant
ἐδιδάξω με	tu as-appris à moi
καὶ εἰκάζειν,	à faire aussi des comparaisons,
ὦ βέλτιστε ἀλεκτρυών ;	ô excellent coq ?
Ἀλλὰ τυραννὶς μὲν	Cependant la tyrannie d'une part
ὤφθη	a-été-vue
οὖσα τοιοῦτόν τι·	étant quelque-chose de tel,
ὁπότε δὲ γένοιο	mais lorsque tu étais
ἵππος ἢ κύων ἢ ἰχθὺς	cheval ou chien ou poisson
ἢ βάτραχος,	ou grenouille,
πῶς ἔφερες	comment supportais-tu
ἐκείνην τὴν διατριβήν ;	ce *genre* de vie-là ?
27. ΑΛΕΚ. Ἀνακινεῖς	27. LE COQ. Tu agites
τοῦτον τὸν λόγον μακρόν	cette question longue
καὶ οὐ	et non (et qui n'est pas le fait)
τοῦ καιροῦ παρόντος·	de la circonstance présente ;
πλὴν	sauf que,
τό γε κεφάλαιον,	*ce qui est* le principal du-moins,
οὐδεὶς τῶν βίων	*il n'est* aucune des conditions
ὅστις οὐκ ἔδοξέ μοι	qui n'ait-paru à-moi (chaque existence m'a
ἀπραγμονέστερος	plus-exempte-d'embarras [paru)
τοῦ ἀνθρωπείου,	que la *condition* humaine,
ξυμμεμετρημένος	étant mesurée-avec
ταῖς ἐπιθυμίαις	les appétits
καὶ χρείαις φυσικαῖς	et besoins naturels

ξυμμεμετρημένος· τελώνην δὲ ἵππον ἢ συκοφάντην βάτραχον ἢ σοφιστὴν κολοιὸν ἢ ὀψοποιὸν κώνωπα ἢ κίναιδον ἀλεκτρυόνα ἢ ὅσα ὑμεῖς ἐπινοεῖτε, οὐκ ἂν ἴδοις ἐν ἐκείνοις. **28.** — **ΜΙΚ.** Ἀληθῆ ἴσως ταῦτα, ὦ ἀλεκτρυών. Ἐγὼ δὲ ὃ πέπονθα οὐκ αἰσχύνομαι πρὸς σὲ εἰπεῖν· οὐ δύναμαι ἀπομαθεῖν τὴν ἐπιθυμίαν ἣν ἐκ παίδων εἶχον πλούσιος γενέσθαι, ἀλλά μοι καὶ τοὐνύπνιον ἔτι πρὸ τῶν ὀφθαλμῶν ἕστηκεν ἐπιδεικνύμενον τὸ χρυσίον, καὶ μάλιστα ἐπὶ τῷ καταράτῳ Σίμωνι ἀποπνίγομαι τρυφῶντι ἐν ἀγαθοῖς τοσούτοις. — **ΑΛΕΚ.** Ἐγώ σε ἰάσομαι, ὦ Μίκυλλε· καὶ ἐπείπερ ἔτι νύξ ἐστιν, ἐξαναστὰς ἕπου μοι· ἀπάξω γάρ σε παρ᾽ αὐτὸν ἐκεῖνον τὸν Σίμωνα καὶ ἐς τὰς τῶν ἄλλων πλουσίων οἰκίας, ὡς ἴδης οἷα τὰ παρ᾽ αὐτοῖς ἐστι.

trouver parmi les animaux ni un cheval fermier des impôts, ni une grenouille sycophante, ni un geai sophiste, ni une mouche cuisinière, ni un coq débauché, enfin, aucune de vos inventions à vous autres hommes. **28.** — MIC. Tu as peut-être raison, mon coq ; cependant je ne rougirai pas de te découvrir mon faible. Je ne puis aujourd'hui même renoncer à l'envie de devenir riche, envie que j'ai depuis l'enfance. Le beau songe qui m'étalait tant d'or, je l'ai encore sous les yeux, et surtout j'enrage de voir ce maudit Simon vivre dans les délices, comblé de tant de biens. — LE COQ. C'est moi qui te guérirai, Micylle, et, puisqu'il est encore nuit, lève-toi et me suis ; je te conduirai chez ce même Simon et chez d'autres riches pour te rendre témoin de ce qui s'y passe. — MIC. Com-

μόναις·	seuls ;
οὐκ ἂν δὲ ἴδοις	tu ne verrais pas d'autre-part
ἐν ἐκείνοις	parmi ceux-là
ἵππον τελώνην	un cheval fermier-des-impôts
ἢ βάτραχον	ou une grenouille
συκοφάντην	sycophante,
ἢ κολοιὸν σοφιστὴν	ou un geai sophiste
ἢ κώνωπα ὀψοποιὸν	ou un moucheron cuisinier
ἢ ἀλεκτρυόνα κίναιδον	ou un coq giton
ἢ ὅσα	ou toutes les *choses* que
ὑμεῖς ἐπινοεῖτε.	vous (les hommes) pratiquez.
28. ΜΙΚ. Ταῦτα	**28.** MIC. Ces *choses*
ἴσως ἀληθῆ,	*sont* peut-être vraies,
ὦ ἀλεκτρυών.	ô coq.
Ἐγὼ δὲ οὐκ αἰσχύνομαι	Mais moi je ne rougis pas
εἰπεῖν πρὸς σὲ	de dire à toi
ὃ πέπονθα·	ce que j'ai éprouvé :
οὐ δύναμαι ἀπομαθεῖν	je ne puis désapprendre
τὴν ἐπιθυμίαν	la passion
ἣν εἶχον ἐκ παίδων	que j'avais dès l'enfance
γενέσθαι πλούσιος,	de devenir riche,
ἀλλὰ καὶ τὸ ἐνύπνιον	mais encore le songe
ἕστηκεν ἔτι μοι	se-tient encore pour moi
πρὸ τῶν ὀφθαλμῶν	devant les yeux
ἐπιδεικνύμενον τὸ χρυσίον,	étalant l'or,
καὶ μάλιστα ἀποπνίγομαι	et surtout j'étouffe
ἐπὶ τῷ καταράτῳ	au-sujet-du maudit
Σίμωνι	Simon
τρυφῶντι	menant-une-vie-de-délices
ἐν τοσούτοις ἀγαθοῖς.	au-milieu-de tant de biens.
ΑΛΕΚ. Ἐγὼ	LE COQ. Moi
ἰάσομαί σε,	je guérirai toi,
ὦ Μίκυλλε·	ô Micylle :
καὶ ἐπείπερ νύξ ἐστιν ἔτι,	et puisque il est encore nuit,
ἐξαναστὰς	t'étant-levé-pour-sortir
ἕπου μοι·	suis moi ;
ἀπάξω γάρ σε	car j'emmènerai toi
παρὰ ἐκεῖνον τὸν Σίμωνα	chez ce Simon lui-même
καὶ ἐς τὰς οἰκίας [αὐτὸν	et dans les maisons
τῶν ἄλλων πλουσίων,	des autres riches,
ὡς ἴδῃς	afin que tu voies
οἷά ἐστι	quelles *choses* sont
τὰ παρὰ αὐτοῖς.	celles chez eux.

— **ΜΙΚ.** Πῶς τοῦτο, κεκλεισμένων τῶν θυρῶν; εἰ μὴ καὶ τοιχωρυχεῖν γε σύ με ἀναγκάσεις. — **ΑΛΕΚ.** Οὐδαμῶς, ἀλλ᾽ ὁ Ἑρμῆς, οὗπερ ἱερός εἰμι, τοῦτο ἐξαίρετον ἔδωκέ μοι, ἤν τις τὸ οὐραῖον πτερὸν τὸ μήκιστον ὃ δι᾽ ἁπαλότητα ἐπικαμπές ἐστί μοι... — **ΜΙΚ.** Δύο δ᾽ ἔστι σοι τοιαῦτα. — **ΑΛΕΚ.** Τὸ δεξιὸν τοίνυν ὅτῳ ἂν ἐγὼ ἀποσπάσαι παράσχω καὶ ἔχειν ἐς ὅσον ἂν βούλωμαι, ἀνοίγειν τε ὁ τοιοῦτος πᾶσαν θύραν δύναται καὶ ὁρᾶν ἅπαντα οὐχ ὁρώμενος αὐτός. — **ΜΙΚ.** Ἐλελήθεις με, ὦ ἀλεκτρυών, καὶ σὺ γόης ὤν. Ἐμοὶ δ᾽ οὖν ἢν τοῦτο ἅπαξ παράσχῃς, ὄψει τὰ Σίμωνος πάντα ἐν βραχεῖ δεῦρο μετενηνεγμένα· μετοίσω γὰρ αὐτὰ παρεισελθών· ὁ δὲ αὖθις

ment cela, puisque les portes sont fermées ? Tu ne vas pas me forcer d’aller percer les murs ? – LE COQ. Point du tout, Hermès, à qui je suis consacré, m’a accordé un privilège précieux. Avec la plus longue plume de ma queue, qui par sa souplesse se replie sur elle-même... – MIC. Mais tu en as deux pareilles. – LE COQ. Eh bien, avec celle de droite. Celui à qui j’offrirai de l’arracher et à qui je la donnerai peut, avec mon consentement, ouvrir toutes les portes et voir tout sans être vu. – MIC. Je ne te savais pas magicien aussi ; si une bonne fois tu me donnes ton talisman, tu me verras bientôt transporter ici les trésors de Simon. Je m’y introduirai en cachette pour faire ce bon coup, et je le réduirai de nouveau

ΜΙΚ. Πῶς τοῦτο,	MIC. Comment *ferais-tu* cela,
τῶν θυρῶν	les portes
κεκλεισμένων;	étant closes ?
εἰ μὴ καὶ σὺ	à moins que toi
ἀναγκάσεις με	tu *ne* me forceras (forces)
καὶ τοιχωρυχεῖν γε.	même *à* percer-la-muraille.
ΑΛΕΚ. Οὐδαμῶς,	LE COQ. Nullement,
ἀλλὰ ὁ Ἑρμῆς,	mais Hermès,
οὗπέρ εἰμι ἱερός,	à qui je suis consacré,
ἔδωκέ μοι	a accordé à moi
τοῦτο ἐξαίρετον,	ce privilège,
ἤν τις	*que* si quelqu’un *a*
τὸ πτερὸν οὐραῖον	la plume de-ma-queue
τὸ μήκιστον	la plus-longue
ὃ διὰ ἁπαλότητα	qui à-cause-de *sa* souplesse
ἐπικαμπές μοί ἐστι...	est à moi flexible...
ΜΙΚ. Δύο δὲ	MIC. Mais deux *plumes*
τοιαῦτα ἔστι σοι.	telles sont à toi.
ΑΛΕΚ. Τὸ δεξιὸν	LE COQ. La droite
τοίνυν ὅτῳ ἐγὼ	donc *celui* à qui moi
ἂν παράσχω ἀποσπάσαι	j’aurai permis de l’arracher
καὶ ἔχειν	et de *la* posséder
ἐς ὅσον	pour autant *de temps* que
ἂν βούλωμαι,	je voudrai,
ὁ τοιοῦτος	l’*homme* tel
δύναται ἀνοίγειν	peut ouvrir
πᾶσαν θύραν	toute porte
καὶ ὁρᾶν ἅπαντα	et voir toutes *choses*
οὐχ ὁρώμενος αὐτός.	n’étant-pas-vu lui-même.
ΜΙΚ. Ἐλελήθεις με,	MIC. Tu avais-été-caché à moi,
ὦ ἀλεκτρυών,	ô coq,
ὢν γόης	étant sorcier
καὶ σύ.	toi aussi.
Ἢν δὲ οὖν	Mais si donc
παράσχῃς ἅπαξ	tu permets une fois
τοῦτό μοι, ὄψει	cela à moi, tu verras
πάντα τὰ Σίμωνος	tous les *biens* de Simon
μετενηνεγμένα δεῦρο	transportés ici
ἐν βραχεῖ·	en peu-*de-temps ;*
μετοίσω γὰρ αὐτὰ	car je transporterai eux
παρεισελθών·	étant-entré-furtivement ;
ὁ δὲ αὖθις	et lui de nouveau

περιτρώξεται πεινῶν τὰ καττύματα. — **ΑΛΕΚ.** Οὐ θέμις γενέσθαι τοῦτο· παρήγγειλε γὰρ ὁ Ἑρμῆς, ἢν τινά τι τοιοῦτον ἐργάσηται ὁ ἔχων τὸ πτερόν, ἀναβοήσαντά με καταφωρᾶσαι αὐτόν. — **ΜΙΚ.** Ἀπίθανον λέγεις, κλέπτην τὸν Ἑρμῆν αὐτὸν ὄντα τοῖς ἄλλοις φθονεῖν τοῦ τοιούτου. Ἀπίωμεν δ᾽ ὅμως· ἀφέξομαι γὰρ τοῦ χρυσίου, ἢν δύνωμαι. — **ΑΛΕΚ.** Ἀπότιλον, ὦ Μίκυλλε, πρότερον τὸ πτίλον… τί τοῦτο; ἄμφω ἀπέτιλας. — **ΜΙΚ.** Ἀσφαλέστερον οὕτως, ὦ ἀλεκτρυών, καὶ σοὶ ἧττον ἂν ἄμορφον τὸ πρᾶγμα εἴη, ᾧ μὴ χωλεύοι ἤδη θάτερον τῆς οὐρᾶς μέρος. **29.** — **ΑΛΕΚ.** Εἶεν. Ἐπὶ τὸν Σίμωνα πρῶτον ἄπιμεν ἢ παρ᾽ ἄλλον τινὰ τῶν πλουσίων;

à ronger son cuir, pressé par la famine. — LE COQ. Cela ne doit pas être, Hermès m'a ordonné de crier bien fort pour découvrir celui qui ferait servir cette plume à un artifice aussi criminel. — MIC. Il n'est pas croyable qu'Hermès, qui est lui-même un voleur, soit jaloux de ses pareils. Mais sortons, je ne toucherai pas à son or, si je puis. — LE COQ. Commence, Micylle, par arracher la plume… Quoi ! tu les arraches toutes deux ? — MIC. Pour plus de sûreté, mon coq ; ta queue en sera moins difforme, et l'autre plume ne fera point disparate. **29.** — LE COQ. Soit ! Allons-nous d'abord

περιτρώξεται	rongera-tout-autour
τὰ καττύματα	ses semelles
πεινῶν.	étant affamé.
ΑΛΕΚ. Οὐ θέμις	LE COQ. *Il n'est* pas juste
τοῦτο γενέσθαι·	cela arriver ;
ὁ Ἑρμῆς γὰρ	en effet Hermès
παρήγγειλε,	a ordonné,
ἢν ὁ ἔχων τὸ πτερὸν	si celui ayant la plume
ἐργάσηται τινά	fait à quelqu'un
τι τοιοῦτον,	quelque chose *de* tel,
ἀναβοήσαντά με	moi ayant crié
καταφωρᾶσαι αὐτόν.	faire surprendre lui.
ΜΙΚ. Λέγεις	MIC. Tu dis
ἀπίθανον,	*une chose* incroyable,
τὸν Ἑρμῆν	*à savoir* Hermès
ὄντα κλέπτην αὐτὸν	étant voleur lui-même
φθονεῖν τοῖς ἄλλοις	envier (refuser) aux autres
τοῦ τοιούτου.	le *méfait* tel.
Ἀπίωμεν δὲ ὅμως·	Mais sortons pourtant ;
ἀφέξομαι γὰρ	car je m'abstiendrai
τοῦ χρυσίου,	de l'or,
ἢν δύνωμαι.	si je puis.
ΑΛΕΚ. Πρότερον,	LE COQ. Auparavant,
ὦ Μίκυλλε,	ô Micylle,
ἀπότιλον τὸ πτίλον…	arrache la plume…
τί τοῦτο;	qu'*est* ceci ?
ἀπέτιλας ἄμφω.	tu as arraché les deux.
ΜΙΚ. Οὕτως	MIC. Ainsi
ἀσφαλέστερον,	*le fait est* plus sûr,
ὦ ἀλεκτρυών,	ô coq,
καὶ τὸ πρᾶγμα ἂν εἴη	et la chose serait
ἧττον ἄμορφόν σοι,	moins laide pour toi,
ᾧ τὸ ἕτερον μέρος	*toi* à qui l'autre partie
τῆς οὐρᾶς	de la queue
μὴ χωλεύοι ἤδη.	ne clocherait pas dès-lors.
29. ΑΛΕΚ. Εἶεν.	**29.** LE COQ. Soit.
Ἄπιμεν ἐπὶ τὸν Σίμωνα	Irons-nous chez Simon
πρῶτον,	en premier lieu,
ἢ παρὰ ἄλλον τινὰ	ou chez quelque autre
τῶν πλουσίων;	des riches ?

— **ΜΙΚ.** Οὐ μὲν οὖν, ἀλλὰ παρὰ τὸν **Σ**ίμωνα, ὃς ἀντὶ δισυλλάβου τετρασύλλαβος ἤδη πλουτήσας εἶναι ἀξιοῖ. Καὶ δὴ πάρεσμεν ἐπὶ τὰς θύρας. Τί οὖν ποιῶ τὸ μετὰ τοῦτο ; — **ΑΛΕΚ.** Ἐπίθες τὸ πτερὸν ἐπὶ τὸ κλεῖθρον. — **ΜΙΚ.** Ἰδού· ἤδη ὦ Ἡράκλεις, ἀναπέπταται ὥσπερ ὑπὸ κλειδὶ ἡ θύρα. — **ΑΛΕΚ.** Ἡγοῦ ἐς τὸ πρόσθεν. Ὁρᾷς αὐτὸν ἀγρυπνοῦντα καὶ λογιζόμενον ; — **ΜΙΚ.** Ὁρῶ, νὴ Δία, πρὸς ἀμαυράν τε καὶ διψῶσαν τὴν θρυαλλίδα, καὶ ὠχρὸς δ᾿ ἐστὶν οὐκ οἶδ᾿ ὅθεν, ὦ ἀλεκτρυών, καὶ κατέσκληκεν ὅλος, ὑπὸ φροντίδων δηλαδή· οὐ γὰρ νοσεῖν ἄλλως ἐλέγετο. — **ΑΛΕΚ.** Ἄκουσον ἅ φησιν· εἴση γὰρ ὅθεν οὕτως ἔχει. — **ΣΙΜΩΝ.** Οὐκοῦν τάλαντα μὲν ἑβδομήκοντα ἐκεῖνα πάνυ ἀσφαλῶς ὑπὸ τῇ κλίνη κατορώρυκται

au logis de Simon, ou chez quelque autre riche ? — MIC. N'allons que chez Simon qui, depuis qu'il a fait fortune, a jugé à propos d'allonger son nom de deux syllabes… Mais nous voici à sa porte, que faire à présent ? — LE COQ. Mets la plume dans la serrure. — MIC. Par Héraclès ! la porte vient de s'ouvrir comme avec une clef. — LE COQ. Avance ; vois-tu comme il veille et compte ses écus ? — MIC. Par Zeus, je le vois à la lueur d'une lampe obscure et sans huile. Quelle pâleur, quelle maigreur ! je ne m'explique pas cela, il faut croire qu'il est rongé de soucis, car on ne disait pas qu'il fût autrement malade. — LE COQ. Écoute ce qu'il dit, et tu sauras la cause de son mal. — SIMON. Voilà donc soixante-dix talents mis en lieu de sûreté. Je les ai cachés en terre sous mon lit,

ΜΙΚ. Οὐ μὲν οὖν,	MIC. Non pas certes,
ἀλλὰ παρὰ τὸν Σίμωνα,	mais chez Simon,
ὃς πλουτήσας	qui s'étant-enrichi
ἀξιοῖ εἶναι ἤδη	se juge-digne d'être désormais
τετρασύλλαβος	de-quatre-syllabes
ἀντὶ δισυλλάβου.	au-lieu d'*être* de-deux-syllabes.
Καὶ δὴ πάρεσμεν	Et voici-que nous sommes présents
ἐπὶ τὰς θύρας.	auprès des portes.
Τί οὖν ποιῶ	Que *faut-il* donc que-je-fasse
τὸ μετὰ τοῦτο ;	dans le *temps* après cela ?
ΑΛΕΚ. Ἐπίθες	LE COQ. Place
τὸ πτερὸν	la plume
ἐπὶ τὸ κλεῖθρον.	sur la serrure.
ΜΙΚ. Ἰδού·	MIC. Voici :
ἤδη,	dès-à-présent,
ὦ Ἡράκλεις,	ô Héraclès,
ἡ θύρα ἀναπέπταται	la porte a-été-ouverte
ὥσπερ κλειδί.	comme par une clef.
ΑΛΕΚ. Ἡγοῦ	LE COQ. Précède-moi
ἐς τὸ πρόσθεν.	en avant.
Ὁρᾷς αὐτὸν	Vois-tu lui
ἀγρυπνοῦντα	veillant
καὶ λογιζόμενον ;	et calculant ?
ΜΙΚ. Ὁρῶ,	MIC. Je *le* vois,
νὴ Δία,	par Zeus,
πρὸς τὴν θρυαλλίδα	auprès de la mèche
ἀμαυράν τε καὶ διψῶσαν,	pâle et altérée,
καί ἐστι δὲ ὠχρὸς	et de plus il est jaunâtre
οὐκ οἶδα ὅθεν,	je ne sais pas d'où (pourquoi),
ὦ ἀλεκτρυών,	ô coq,
καὶ κατέσκληκεν ὅλος,	et il est maigri tout-entier,
ὑπὸ φροντίδων	par-suite de soucis
δηλαδή·	apparemment ;
οὐ γὰρ ἐλέγετο	car il n'était pas dit
νοσεῖν ἄλλως.	être malade autrement.
ΑΛΕΚ. Ἄκουσον	LE COQ. Écoute
ἅ φησιν·	*les choses* qu'il dit ;
εἴσῃ γὰρ	tu sauras en effet
ὅθεν οὕτως ἔχει.	d'où (comment) il est ainsi.
ΣΙΜΩΝ. Οὐκοῦν	SIMON. Donc
ἐκεῖνα μὲν ἑβδομήκοντα	ces soixante-dix talents d'une-part
κατορώρυκται [τάλαντα	ont-été enfouis
ἀσφαλῶς ὑπὸ τῇ κλίνῃ	en sûreté sous mon lit

καὶ οὐδεὶς ὅλως εἶδε, τὰ δὲ ἑκκαίδεκα εἶδεν, οἶμαι, **Σ**ωσύλος ὁ ἱπποκόμος ὑπὸ τῇ φάτνῃ κατακρύπτοντά με· ὅλος γοῦν περὶ τὸν ἱππῶνά ἐστιν, οὐ πάνυ ἐπιμελὴς ἄλλως οὐδὲ φιλόπονος ὤν. **Ε**ἰκὸς δὲ διηρπάσθαι πολλῷ πλείω τούτων· ἢ πόθεν γὰρ ὁ **Τ**ίβιος ταρίχους οὕτω μεγάλους ὠψωνηκέναι χθὲς ἐλέγετο ἢ τῇ γυναικὶ ἐλλόβιον ἐωνῆσθαι πέντε δραχμῶν ὅλων;

οὗτοι σπαθῶσι τἀμὰ τοῦ κακοδαίμονος.

Ἀλλ᾽ οὐδὲ τὰ ἐκπώματα ἐν ἀσφαλεῖ μοι ἀπόκειται τοσαῦτα ὄντα· δέδια γοῦν μή τις ὑπορύξας τὸν τοῖχον ὑφέληται αὐτά· πολλοὶ φθονοῦσι καὶ ἐπιβουλεύουσί μοι, καὶ μάλιστα ὁ γείτων **Μ**ίκυλλος. — **ΜΙΚ.** **Ν**ὴ Δία, σοὶ γὰρ ὅμοιος ἐγὼ καὶ τὰ τρύ-

sans que personne ne le sache. Mais ces seize autres talents, Sosyle, mon palefrenier m'aura vu les déposer sous le râtelier. Aussi est-il continuellement autour de ses chevaux, lui qui d'ailleurs n'est ni soigneux ni laborieux de son naturel. On m'en aura vraisemblablement escroqué bien d'autres. Sans cela, comment Tibius aurait-il fait ces fortes provisions de viandes salées ? On assure aussi qu'il vient d'acheter pour sa femme une paire de pendants d'oreilles de cinq drachmes. Malheur à moi ! ces coquins-là me ruineront tout à fait. À propos, ma vaisselle n'est pas non plus en lieu sûr, pour une vaisselle de si grand prix. Je crains donc qu'on ne perce la muraille pour me l'enlever. J'ai tant d'envieux, tant de gens qui me dressent des pièges et surtout le voisin Micylle ! — MIC. Oui, je te ressemble, n'est-ce pas, et j'emporte comme toi les plats sous mon

καὶ οὐδεὶς ὅλως	et personne du-tout
εἶδε,	*ne les* a vus,
τὰ δὲ ἑκκαίδεκα,	mais les seize,
Σωσύλος ὁ ἱπποκόμος	Sosyle le palefrenier
εἶδέ με, οἶμαι,	a vu moi, je pense,
κατακρύπτοντα	*les* cachant
ὑπὸ τῇ φάτνῃ·	sous le râtelier :
ἔστι γοῦν ὅλος	il est du moins tout-entier (attentif),
περὶ τὸν ἱππῶνα,	autour de l'écurie,
ὢν ἄλλως	*n'*étant du-reste
οὐ πάνυ ἐπιμελὴς	pas du-tout soigneux
οὐδὲ φιλόπονος.	ni laborieux.
Εἰκὸς δὲ	Mais il est vraisemblable
πολλῷ πλείω	beaucoup plus de *talents*
τούτων	que ceux-ci
διηρπάσθαι·	avoir été dérobés ;
ἢ πόθεν γὰρ	ou (sinon) en effet d'où
ὁ Τίβιος ἐλέγετο	Tibios était-il dit
ὠψωνηκέναι χθὲς	avoir fait provision hier
ταρίχους οὕτω μεγάλους	de salaisons si grandes (nombreuses)
ἢ ἐωνῆσθαι	ou avoir-acheté
τῇ γυναικὶ	pour sa femme
ἐλλόβιον	une paire-de-pendants-d'oreilles
πέντε δραχμῶν ὅλων ;	pour cinq drachmes entières ?
οὗτοι σπαθῶσι τὰ ἐμὰ	ceux-ci gaspillent les *choses* miennes
τοῦ κακοδαίμονος.	de *moi* l'infortuné.
Ἀλλὰ τὰ ἐκπώματα	Mais les vases-à-boire
οὐδὲ ἀπόκειταί μοι	n'ont pas-même été-mis-à-l'écart à moi
ἐν ἀσφαλεῖ,	en *lieu* sûr,
ὄντα τοσαῦτα·	étant si-nombreux ;
δέδια γοῦν	je crains donc
μή τις ὑπορύξας	que quelqu'un ayant-creusé-en-dessous
τὸν τοῖχον	la muraille
ὑφέληται ταῦτα·	ne *m'*ait enlevé ces *vases ;*
πολλοὶ φθονοῦσι	beaucoup *me* jalousent
καὶ ἐπιβουλεύουσί μοι,	et tendent des pièges à moi,
καὶ μάλιστα	et surtout
ὁ γείτων Μίκυλλος.	le voisin Micylle.
ΜΙΚ. Νὴ Δία,	MIC. Par Zeus,
ἐγὼ γὰρ ὅμοιός σοι	je suis en effet semblable à toi
καὶ ἄπειμι	et je *m'*en-irai
ἔχων τὰ τρύβλια	ayant les plats

βλια ὑπὸ μάλης ἄπειμι ἔχων. — **ΑΛΕΚ.** Σιώπα, ὦ Μίκυλλε, μὴ καταφωράσῃ παρόντας ἡμᾶς. — **ΣΙΜΩΝ.** Ἄριστον γοῦν ἄγρυπνον αὐτὸν φυλάττειν ἅπαντα· περίειμι διαναστὰς ἐν κύκλῳ τὴν οἰκίαν. Τίς οὗτος; Ὁρῶ σέ, ὦ τοιχωρύχε... μὰ Δί᾽, ἐπεὶ κίων γε ὢν τυγχάνεις, εὖ ἔχει. Ἀριθμήσω αὖθις ἀνορύξας τὸ χρυσίον, μή τί με πρῴην διέλαθεν. Ἰδού· πάλιν ἐψόφηκέ τις· ἐπ᾽ ἐμὲ δηλαδή· πολιορκοῦμαι καὶ ἐπιβουλεύομαι πρὸς ἁπάντων. Ποῦ μοι τὸ ξιφίδιον; ἂν λάβω τινά... Θάπτωμεν αὖθις τὸ χρυσίον. 30. — **ΑΛΕΚ.** Τοιαῦτα μέν σοι, ὦ Μίκυλλε, τὰ Σίμωνος. Ἀπίωμεν δὲ καὶ παρ᾽ ἄλλον τινά, ἕως ἔτι ὀλίγον τῆς νυκτὸς λοιπόν ἐστιν. — **ΜΙΚ.** Ὦ κακοδαίμων, οἷον

bras ? — LE COQ. Paix, Micylle, ne trahis pas notre présence. — SIMON. C'est le plus sûr parti de se trouver sur ses gardes. Je vais me lever et faire la ronde dans toute la maison. Qui va là ? Je te vois, scélérat qui perces les murailles. Par Zeus, tu n'es qu'une colonne, c'est heureux pour toi. Comptons une seconde fois l'argent que j'ai enfoui dernièrement ; peut-être me serai-je trompé dans mon calcul... J'entends encore du bruit ! Quelqu'un m'en veut apparemment : on m'assiège, on me dresse de tous côtés des pièges ! Où est mon épée ? Si j'attrape quelqu'un ! Enterrons de nouveau mon trésor. **30.** — LE COQ. Voilà, Micylle, la vie de Simon ! Allons voir aussi chez quelque autre riche, puisque la nuit n'est pas encore entièrement achevée. — MIC. Oh ! le malheureux ! quelle

ὑπὸ μάλης.	sous *l'*aisselle.
ΑΛΕΚ. Σιώπα,	LE COQ. Tais-toi,
ὦ Μίκυλλε,	ô Micylle,
μὴ καταφωράσῃ	de peur que tu fasses-surprendre
ἡμᾶς παρόντας.	nous étant-présents.
ΣΙΜΩΝ. Ἄριστον γοῦν	SIMON. Le meilleur donc *est*
αὐτὸν ἄγρυπνον	moi-même sans-sommeil
φυλάττειν ἅπαντα·	garder tout ;
διαναστὰς	m'étant levé
περίειμι τὴν οἰκίαν	je ferai-le-tour-de la maison
ἐν κύκλῳ.	en cercle.
Τίς οὗτος;	Qui *est* celui-ci ?
Ὁρῶ σέ,	Je vois toi,
ὦ τοιχωρύχε...	ô perceur-de-murailles...
μὰ Δία,	par Zeus,
ἐπεὶ τυγχάνεις	puisque tu te-trouves
ὢν κίων γε,	étant une colonne certes,
ἔχει εὖ.	*cela* va bien.
Ἀριθμήσω αὖθις	Je compterai de-nouveau
τὸ χρυσίον	l'or
ἀνορύξας,	*l'*ayant déterré,
μή τί	de peur-que quelque-chose
με διέλαθε πρῴην.	*ne* m'ait échappé auparavant.
Ἰδού· πάλιν	Voici : de-nouveau
ἐψόφηκέ τις·	quelqu'un a-fait-du-bruit ;
ἐπὶ ἐμὲ δηλαδή·	contre moi évidemment ;
πολιορκοῦμαι	je suis-assiégé
καὶ ἐπιβουλεύομαι	et je suis-en-butte-aux-pièges
πρὸς ἁπάντων.	de-la-part-de tous.
Ποῦ τὸ ξιφίδιόν μοι;	Où est l'épée à moi ?
ἂν λάβω τινά...	si je prends quelqu'un...
Θάπτωμεν αὖθις	Enterrons de-nouveau
τὸ χρυσίον.	l'or.
30. ΑΛΕΚ. Τὰ Σίμωνος,	**30.** LE COQ. Les *choses* de Simon,
ὦ Μίκυλλε,	ô Micylle,
τοιαῦτα μέν σοι.	sont telles à la vérité pour-toi.
Ἀπίωμεν δὲ καὶ	Mais allons aussi
παρὰ ἄλλον τινά,	chez quelque autre,
ἕως ἔτι ὀλίγον	tant qu'encore un peu
τῆς νυκτός	de la nuit
ἐστι λοιπόν.	est restant.
ΜΙΚ. Ὦ κακοδαίμων,	MIC. Oh ! le malheureux !
οἷον τὸν βίον βιοῖ.	quelle vie il vit !

βιοῖ τὸν βίον. Ἐχθροῖς οὕτω πλουτεῖν γένοιτο. Κατὰ κόρρης δ᾽ οὖν πατάξας αὐτὸν ἀπελθεῖν βούλομαι. — **ΣΙΜΩΝ.** Τίς ἐπάταξέ με ; ληστεύομαι ὁ δυστυχής. — **ΜΙΚ.** Οἴμωζε καὶ διαγρύπνει καὶ ὅμοιος γίγνου τὸ χρῶμα τῷ χρυσῷ, προστετηκὼς αὐτῷ. Ἡμεῖς δέ, εἰ δοκεῖ, παρὰ Γνίφωνα τὸν δανειστὴν ἴωμεν. Οὐ μακρὰν δὲ καὶ οὗτος οἰκεῖ... Ἀνέῳγε καὶ αὕτη ἡμῖν ἡ θύρα. **31.** — **ΑΛΕΚ.** Ὁρᾷς ἐπαγρυπνοῦντα καὶ αὐτὸν ὑπὸ φροντίδων, ἀναλογιζόμενον τοὺς τόκους τοῖς δακτύλοις καὶ ἤδη κατεσκληκότα, ὃν δεήσει μετ᾽ ὀλίγον πάντα ταῦτα καταλιπόντα σίλφην ἢ ἐμπίδα ἢ κυνόμυιαν γενέσθαι ; — **ΜΙΚ.** Ὁρῶ κακοδαίμονα καὶ ἀνόητον ἄνθρωπον οὐδὲ νῦν

vie est la sienne ! Je souhaite de pareils trésors à mes ennemis. Je ne veux pourtant pas m'en aller sans lui avoir donné un bon soufflet. — SIMON. Au meurtre ! au voleur ! — MIC. Lamente-toi, veille sans cesse ; deviens aussi jaune que cet or que tu couves de tes yeux. Pour nous, allons, s'il te plaît, chez l'usurier Gniphon ; sa demeure n'est pas éloignée. Voilà encore une porte qui s'ouvre pour nous. **31.** — LE COQ. Le vois-tu, lui aussi, prolongeant sa veille, en proie à mille soucis et calculant les intérêts de son argent sur ses doigts desséchés ? Bientôt il lui faudra quitter tous ces trésors pour devenir blatte, cousin ou moucheron. — MIC. L'insensé qu'il est,

Γένοιτο ἐχθροῖς	Puisse-t-il-arriver à des ennemis
πλουτεῖν οὕτω.	d'être-riche ainsi.
Βούλομαι δὲ οὖν	Mais je veux pourtant
ἀπελθεῖν	sortir
πατάξας αὐτὸν	ayant-frappé lui
κατὰ κόρρης.	sur *la* joue.
ΣΙΜΩΝ. Τίς	SIMON. Qui
ἐπάταξέ με ;	a frappé moi ?
ληστεύομαι,	je suis-pillé,
ὁ δυστυχής.	*moi* le malheureux.
ΜΙΚ. Οἴμωζε	MIC. Gémis
καὶ διαγρύπνει	et-sois-sans-sommeil
καὶ γίγνου ὅμοιος	et deviens semblable
τῷ χρυσῷ	à l'or
τὸ χρῶμα,	*quant* à la couleur,
προστετηκὼς αὐτῷ.	t'étant-fondu-sur lui.
Ἡμεῖς δέ, εἰ δοκεῖ,	Pour nous, s'il *te* semble-bon,
ἴωμεν παρὰ Γνίφωνα	allons chez Gniphon
τὸν δανειστήν.	l'usurier.
Οὗτος δὲ οἰκεῖ	Or celui-ci habite
οὐ μακράν...	non loin...
Καὶ αὕτη ἡ θύρα	Cette porte aussi
ἀνέῳγεν ἡμῖν.	s'est ouverte pour nous.
31. ΑΛΕΚ. Ὁρᾷς	**31.** LE COQ. Vois-tu
καὶ αὐτὸν	lui aussi
ἐπαγρυπνοῦντα	prolongeant-sa-veillée
ὑπὸ φροντίδων,	par-suite-de soucis,
ἀναλογιζόμενον	calculant
τοὺς τόκους τοῖς δακτύλοις	ses intérêts avec ses doigts
καὶ ἤδη κατεσκληκότα,	et déjà desséché,
ὃν δεήσει	*lui* qu'il faudra
μετὰ ὀλίγον	après peu *de temps*
καταλιπόντα	ayant-abandonné
πάντα ταῦτα	toutes ces *choses*
γενέσθαι	devenir
σίλφην ἢ ἐμπίδα	blatte ou cousin
ἢ κυνόμυιαν;	ou mouche-à-chien ?
ΜΙΚ. Ὁρῶ	MIC. Je vois
ἄνθρωπον κακοδαίμονα	un homme malheureux
καὶ ἀνόητον	et insensé
οὐδὲ νῦν	et pas même maintenant

πολὺ τῆς σίλφης ἢ ἐμπίδος ἄμεινον βιοῦντα. Ὡς δὲ καὶ οὗτος ἐκτέτηκεν ὅλος ὑπὸ τῶν λογισμῶν. Ἐπ᾽ ἄλλον ἀπίωμεν. 32. — **ΑΛΕΚ.** Παρὰ τὸν σὸν **Ε**ὐκράτην, εἰ δοκεῖ. **Κ**αὶ ἰδοὺ γάρ, ἀνέῳγε καὶ αὕτη ἡ θύρα· ὥστε εἰσίωμεν. — **ΜΙΚ.** Πάντα ταῦτα μικρὸν ἔμπροσθεν ἐμὰ ἦν. — **ΑΛΕΚ.** Ἔτι γὰρ σὺ ὀνειρώττεις τὸν πλοῦτον; Ὁρᾷς δ᾽ οὖν τὸν **Ε**ὐκράτην αὐτὸν μὲν ὑπὸ τοῦ οἰκέτου, πρεσβύτην ἄνθρωπον...; — **ΜΙΚ.** Ὁρῶ νὴ **Δ**ία καταπυγοσύνην καὶ πασχητιασμόν τινα καὶ ἀσέλγειαν οὐκ ἀνθρωπίνην· τὴν γυναῖκα δὲ ἑτέρωθι ὑπὸ τοῦ μαγείρου μοιχευομένην καὶ αὐτήν. 33. — **ΑΛΕΚ.** Τί οὖν; ἐθέλοις ἂν καὶ τούτων κληρονομεῖν, ὦ **Μ**ίκυλλε, καὶ πάντα ἔχειν τὰ

il ne vit pas plus heureux que ces insectes. Comme il est tout desséché à force de calculs ! Voyons-en un autre. **32.** — LE COQ. Ton Eucrate, si tu veux ; voilà sa porte ouverte également : entrons. — MIC. Tout cela était à moi tout à l'heure. — LE COQ. Quoi ! tu rêves encore à toutes ces richesses ? Tiens ! regarde Eucrate, couché avec son valet, lui, un vieillard ! — MIC. Ah ! par Zeus, je vois là de jolies choses ! Un pédéraste, un complaisant infâme, une impudeur plus qu'humaine. Et la femme d'Eucrate, qui, de son côté, couche avec son cuisinier ! **33.** — LE COQ. Voudrais-tu maintenant être

βιοῦντα πολὺ ἄμεινον	*ne* vivant beaucoup mieux
τῆς σίλφης ἢ ἐμπίδος.	que la blatte ou le cousin.
Ὡς δὲ καὶ οὗτος	Comme celui-ci aussi
ἐκτέτηκεν ὅλος	s'est-consumé-complètement tout-entier
ὑπὸ τῶν λογισμῶν.	par les calculs.
Ἀπίωμεν	Allons-nous-en
ἐπὶ ἄλλον.	chez un autre.
32. ΑΛΕΚ. Παρὰ	**32.** LE COQ. Chez
τὸν σὸν Εὐκράτην,	le tien Eucrate,
εἰ δοκεῖ.	s'il *te* semble-bon.
Καὶ ἰδοὺ γάρ,	Et voici en effet,
καὶ αὕτη ἡ θύρα	cette porte aussi
ἀνέῳγεν·	s'est-ouverte ;
ὥστε εἰσίωμεν.	en-sorte-que entrons.
ΜΙΚ. Πάντα ταῦτα	MIC. Toutes ces *choses*
μικρὸν ἔμπροσθεν	un peu auparavant
ἦν ἐμά.	étaient miennes.
ΑΛΕΚ. Σὺ γὰρ	LE COQ. Toi en effet
ὀνειρώττεις ἔτι	rêves-tu encore
τὸν πλοῦτον ;	la richesse ?
Ὁρᾷς δὲ οὖν	Mais vois-tu donc
τὸν Εὐκράτην	Eucrate
αὐτὸν μὲν ἄνθρωπον πρεσβύτην	lui-même à la vérité un homme âgé
... ὑπὸ τοῦ οἰκέτου ;	*être*... par *son* esclave ?
ΜΙΚ. Ὁρῶ,	MIC. Je vois,
νὴ Δία,	par Zeus,
καταπυγοσύνην	un enculage
καί τινα πασχητιασμὸν	et une certaine obsession-sexuelle
καὶ ἀσέλγειαν	et une impudeur
οὐκ ἀνθρωπίνην·	non humaine ;
τὴν γυναῖκα δὲ	et *je vois* sa femme
ἑτέρωθι	d'un autre côté
καὶ αὐτὴν μοιχευομένην	elle aussi se-laissant-séduire
ὑπὸ τοῦ μαγείρου.	par le cuisinier.
33. ΑΛΕΚ. Τί οὖν ;	**33.** LE COQ. Quoi donc ?
ἐθέλοις ἂν	voudrais-tu
κληρονομεῖν	hériter
καὶ τούτων,	aussi de ces *choses,*
ὦ Μίκυλλε,	ô Micylle,
καὶ ἔχειν	et posséder
πάντα τὰ Εὐκράτους ;	toutes les *choses* d'Eucrate ?

Εὐκράτους ; — ΜΙΚ. Μηδαμῶς, ὦ ἀλεκτρυών· λιμῷ ἀπολοίμην πρότερον. Χαιρέτω τὸ χρυσίον καὶ τὰ δεῖπνα· δύ᾽ ὀβολοὶ πλοῦτος ἔστω μᾶλλον. — ΑΛΕΚ. Ἀλλὰ νῦν μὲν (ἡμέρα γὰρ ἤδη ἀμφὶ τὸ λυκαυγὲς αὐτό) ἀπίωμεν οἴκαδε παρ᾽ ἡμᾶς· τὰ λοιπὰ δὲ ἐς αὖθις ὄψει, ὦ Μίκυλλε.

l'héritier d'Eucrate et posséder tous ses biens ? — MIC. Point du tout, coq ; j'aimerais mieux mourir de faim auparavant ! adieu richesses et festins. Il est préférable à mon avis d'avoir deux oboles pour tout bien. — LE COQ. Mais à présent (car déjà le crépuscule du matin approche) rentrons chez nous. Quant au reste, tu le verras une autre fois, Micylle.

ΜΙΚ. Μηδαμῶς,	MIC. Nullement,
ὦ ἀλεκτρυών·	ô coq !
ἀπολοίμην λιμῷ	puissé-je-être-mort de faim
πρότερον.	auparavant.
Τὸ χρυσίον χαιρέτω	Que l'or se-réjouisse (adieu l'or)
καὶ τὰ δεῖπνα·	et les festins ;
δύο ὀβολοὶ	*que* deux oboles
ἔστω μᾶλλον	soient plutôt
πλοῦτος ἔμοιγε.	une richesse pour moi.
ΑΛΕΚ. Ἀλλὰ	LE COQ. Mais
νῦν μὲν	maintenant d'une-part
(ἤδη γὰρ ἡμέρα	(car déjà *le* jour
ἀμφὶ τὸ λυκαυγὲς αὐτὸ)	*est* vers le *moment* lumineux même)
ἀπίωμεν οἴκαδε	allons-nous-en à-la-maison
παρὰ ἡμᾶς·	chez nous ;
ὄψει δὲ	tu verras d'autre-part
ἐς αὖθις,	une autre fois,
ὦ Μίκυλλε,	ô Micylle,
τὰ λοιπά.	le reste.

NOTES

Page 6 : 1. Un rhéteur à peu près contemporain de Lucien, Alciphron, a dans une de ses lettres imaginaires (3, 10) imité visiblement le commencement de ce dialogue.

Page 10 : 1. Allusion à un passage de l'*Iliade* où Héra donne pour un moment la parole au cheval d'Achille, Xanthos.

Page 12 : 1. Le navire *Argo,* sur lequel montèrent Jason et ses compagnons pour aller conquérir la toison d'or, était construit avec le bois des pins du Pélion. Mais Athéna y avait mis un morceau du chêne sacré de Dodone, qui avait le don de prophétie.

— 2. Un chêne de Dodone était consacré à Zeus et prédisait l'avenir.

— 3. Cette phrase fait allusion au passage suivant de l'*Odyssée* (12, 395 suiv.), où les compagnons d'Ulysse, ayant tué et fait rôtir les bœufs du Soleil, sont témoins d'un prodige :

Εἷρπον μὲν ῥινοί, κρέα δ' ἀμφ' ὀβελοῖσι μεμύκει,
ὀπταλέα τε καὶ ὠμά· βοῶν δ' ὣς γίγνετο φωνή.

— 4. Le coq figure souvent sur les monuments à côté de Hermès, soit comme animal de combat, avec le dieu qui présidait aux luttes de la palestre, soit comme oiseau vigilant, en compagnie du messager de Zeus.

Page 16 : 1. Voyez *Odyssée,* 8, 266 sqq. et Lucien, *Dialogi deorum,* 17.

Page 18 : 1. Euphorbe, fils de Panthoös, est cité par Homère comme un des plus vaillants parmi les Troyens. Ovide a aussi parlé, dans un passage célèbre (*Métamorphoses*, 15, 161), de la prétention de Pythagore à laquelle Micylle fait allusion ici :

Trojani tempore belli,

Panthoides Euphorbus eram...

Page 20 : 1. Les meilleurs coqs de combat venaient, disait-on, de Tanagra, en Béotie.

Page 22 : 1. Un vers pythagoricien disait :

Ἶσόν τοι κυάμους τρώγειν κεφαλάς τε τοκήων.

Page 24 : 1. Homère a en effet appliqué aux songes l'épithète de ἀμενηνός (*Odyssée,* 19, 562) :

Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων.

Page 30 : 1. Les vers que cherche Micylle et qui sont cités un peu plus bas sont les premiers de la première *Olympique.*

Page 32 : 1. Voyez *Iliade,* 2, 56 et 57.

Page 42 : 1. Lucien se moque ici des théories grammaticales des stoïciens et des arguments subtils de la plupart des sectes philosophiques de son temps. « S'il fait jour, il ne fait pas nuit, » est un exemple à l'appui du principe d'identité qui s'énonce ordinairement ainsi : « Une chose ne peut pas à la fois être et n'être point dans le même temps et sous le même rapport. » Quant à la phrase sur les cornes, elle fait allusion à un célèbre sophisme : « Tu as ce que tu n'as pas perdu ; or tu n'as pas perdu de cornes, donc tu as des cornes. »

Page 48 : 1. Citation d'Homère, *Iliade,* 17, 52.

Page 50 : 1. *N'étant que le fils de Panthoös,* c. à d. n'étant qu'un homme né d'un homme, par opposition à Zeus.

— 2. Danaé. Zeus se transforma en pluie d'or ; voyez *Dialogi marini,* 12 :

Φασὶ δ' οὖν τὸν Δία χρυσὸν γενόμενον ῥυῆναι διὰ τοῦ ὀρόφου ἐπ' αὐτήν, δεξαμένην δὲ ἐκείνην ἐς τὸν κόλπον καταρρέοντα τὸν θεὸν ἐγκύμονα γενέσθαι.

Page 56 : 1. La ceinture brodée (κεντέω, percer) magique d'Aphrodite, décrite par Homère (*Iliade,* 14, 214 sqq.)

— 2. Lucien cite ici deux vers tragiques. — Le premier est tiré d'une tragédie perdue d'Euripide, *Danaé :* on le retrouve plus complet dans le *Timon* de Lucien :

Ὦ χρυσέ, δεξίωμα κάλλιστον βροτοῖς.

Du second l'auteur est inconnu.

Page 60 : 1. Hérodote et d'autres auteurs parlent de fourmis gigantesques qui enfouissent l'or. Ils désignent par là des espèces de marmottes qui creusent des trous dans les sables aurifères de l'Inde, et en gardent l'entrée comme si elles veillaient sur leur trésor.

Page 64 : 1. Héraclès s'empara une première fois de Troie afin de punir le roi Laomédon, qui refusait de lui payer la récompense promise pour avoir triomphé d'un monstre marin.

Page 66 : 1. Dans Homère (*Iliade,* 16, 813), Euphorbe blesse Patrocle, mais ne le tue pas.

— 2. Oros (Horus) était le fils, Isis la sœur et l'épouse du dieu de l'Égypte, Osiris.

Page 72 : 1. Le fameux devin aveugle de Thèbes, conseiller d'Œdipe, qui aurait été femme pendant sept années.

— 2. Roi des Lapithes qui aurait été né fille (alors nommée Καινίς ou Καινή) et ensuite changée en homme invulnérable par Poséidon. Akousilaos d'Argos (9 B 40 D-K) :

> Καινῇ δὲ τῇ Ἐλάτου μίσγεται Ποσειδῶν. Ἔπειτα (οὐ γὰρ ἦν αὐτῷ ἱερὸν παῖδας τεκὲν οὔτ' ἐξ ἐκείνου οὔτ' ἐξ ἄλλου οὐδενός) ποιεῖ αὐτὸν Ποσειδέων ἄνδρα ἄτρωτον.

— 3. Tirésias, désigné arbitre avant Zeus et Héra pour décider cette question (c. à d. lequel des deux sexes jouissait le plus en faisant l'amour), déclara que la femme éprouvait le plus de plaisir. De dépit et de rage, Héra (qui affirmait que c'était l'homme) le frappa de cécité.

— 4. Citation de *Médée,* 250-251.

Page 74 : 1. Les lieux d'origine d'Aspasie et de Pythagore respectivement.

— 2. Il s'agit de Polycrate, tyran de Samos.

Page 86 : 1. Il s'agit de Denys le Jeune, tyran de Syracuse, qui fut expulsé par Timoléon en 343 av. J.-C.

Page 90 : 1. Phidias d'Athènes, le plus grand sculpteur de l'antiquité, l'ami de Périclès, et Myron, d'Éleuthère en Béotie, étaient tous deux élèves d'Agéladas. Praxitèle d'Athènes vivait au milieu du quatrième siècle avant J.-C.

Page 94 : 1. Citation d'Homère, *Iliade,* 10, 4.

— 2. Le Lydien dont il est ici question est Crésus, roi de Lydie, dont un des fils était sourd-muet ; le Perse est Artaxerxès Mnémon, contre qui son frère, Cyrus le Jeune, dirigea une expédition.

— 3. Le Lacédémonien Cléarque était le chef des dix mille Grecs qui accompagnèrent Cyrus le Jeune et dont Xénophon a raconté la marche et la retraite dans l'*Anabase.* Il fut assassiné par les Perses après la bataille de Cunaxa.

Page 96 : 1. Dion, oncle de Denys le Jeune, fut exilé par ce prince parce qu'il avait su se concilier la faveur des Syracusains.

— 2. Parménion fut longtemps l'ami d'Alexandre, qui ensuite le fit mettre à mort, ainsi que son fils Philotas.

— 3. Perdiccas était un des lieutenants d'Alexandre. C'est à lui que le roi macédonien remit en mourant l'anneau d'or, signe du commandement suprême, et c'est à lui que revint la tâche de partager l'empire entre les successeurs du conquérant.

— 4. Ptolémée Lagos fonda en Égypte la dynastie des Lagides, Séleucos fonda en Syrie celle des Séleucides.
